ξατο ὁ τὸν νέον Θεοδόσιον τυραννήσας καὶ τῆς βασιλείας στερησάμενος, Λέων ὁ Ἴσαυρος· ἡ μεσημβρινὴ ὄντως σαύρα, ἡ χαμερπὴς καὶ τὴν κεφαλὴν ἀνατείνασα πυκνὰ δὲ ταύτην ταῖς ὀπαῖς ἐπεισκρύπτουσα· ὁ μέχρι πολλοῦ ὑποκρινόμενος τὴν εὐσέβειαν καὶ τὴν ἀσέβειαν ὕστερον ἐξεμέσας καὶ πάλιν αὐτὸς καταπιὼν ὡς κύων τὸν ἴδιον ἔμετον· οὗτος γὰρ ὑπὸ τοῦ δαίμονος διδαχθεὶς καὶ φρεναπατηθείς, ἐξεφώνησε μὴ δεῖν τὸν Χριστὸν εἰκονίζεσθαι μήτε μὴν ἐν εἰκόνι προσκυνεῖσθαι· οὐ γὰρ περιγράφεται φησι τὸ ἀπερίγραπτον· οὔτε μὴν ὁρᾶται τὸ ἀόρατον· οὐ μόνον δὲ ἐξεφώνησεν, ἀλλὰ καὶ ἐθέσπισεν καὶ τὸν Πατριάρχην ἠνάγκασε τοῖς αὐτοῦ πείθεσθαι φρονήμασί τε καὶ δόγμασι. Γερμανὸς οὗτος ἦν ὁ ἀοίδιμος ὃς μηδόλως πεισθεὶς τοῖς τούτου θελήμασιν ἀλλὰ καὶ ἐλέγξας καὶ παραστήσας κατὰ πρόσωπον αὐτοῦ τὰς ἀνομίας αὐτοῦ καὶ τὰς ἀσεβείας καὶ ἐπειπών, ὡς μάτην ὑπέλαβες ὅτι ἔσομαι ὅμοιος· μετακινῶν ὅρια πατέρων καὶ εὐαγγελιζόμενος παρ' ὃ εὐαγγελίσαντο ἡμῶν ἐκεῖνοι, ἐξωθεῖται τῆς ἐκκλησίας, καὶ ὑπερορίζεται ὁ καλὸς ποιμὴν· ὁρᾷ δὲ λύκον εἰς τὴν τῶν Χριστοῦ προβάτων ἀγέλην εἰσενηνεγμένην· Ἀναστάσιον φημὶ τὸ σκαιόν, ὃς σύμφρων τῷ βασιλεῖ γεγονὸς καὶ ὡσπερεὶ λέων καὶ λύκος ἑνὶ σώματι ἐνσκήσαντες τῷ τῆς Ἐκκλησίας φημὶ εὐσεβεῖ πληρώματι, διεσπάραξαν εἰς πολλὰ οἱ ἀντίθεσσοι, καὶ ἦν ἰδεῖν οἰμωγὰς καὶ θρήνους καὶ βίας καὶ φυγὰς καὶ οὐδεὶς ὁ βοηθῶν· ἐπεὶ δὲ πολλὰ βρυχησάμενος ὁ τύραννος ᾤχετο εἰς χάος, καὶ ἐκλείπων ὡσεὶ καπνὸς ἐξέλιπεν, ἕτερος ἀντεισάγεται τῇ πόλει ἐκ κακοῦ κακόν, καὶ τὸ τοῦ λόγου κόρακος ὠόν, ἢ μᾶλλον εἰπεῖν, ἐκ λέοντος βασιλίσκος, καὶ ἀσπὶς ἐκ παρδάλεως, εἰ δεῖ τι καὶ τὰ ἄμικτα ἐντεῦθεν μιγνύειν, καὶ τὰ ἑτερογενῆ συζευγνύειν. Διαδέχεται γὰρ τὰ σκῆπτρα τῆς βασιλείας ὁ ἐκ τῆς μιαρᾶς ὀσφύος αὐτοῦ μιαρότερος γόνος Κωνσταντῖνος ὁ Καβαλλῖνος ὃν λέγεται μετὰ τὸ γεννηθῆναι, παρὰ τοῦ Πατριάρχου Γερμανοῦ τῇ θείᾳ κολυμβήθρᾳ ἐγκαταδυόμενον, γαστρορρυῆσαι παραυτίκα ἔνδοθεν, ὃ καὶ ἰδόντα τὸν ἅγιον, προειπεῖν· ὅτι μεγάλην καὶ πολλὴν δυσωδίαν ἐγκαταμίξει τῇ Ἐκκλησίᾳ ὁ σήμερον βαπτιζόμενος οὕτωσί. ὃ δὴ καὶ εἰς πέρας ἐξέβη· τοσοῦτον γὰρ ἐλύττησε κατὰ τῆς εἰκόνος Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ ὁ ρηθεὶς σκοτεινόμορφος σκύμνος τοῦ αἱμοβόρου λέοντος, ὡς κρυβῆναι μὲν τὸν βρυχηθμὸν ἐκείνου καὶ εἰς λήθην ἐλθεῖν, τούτου δὲ τὰς ὑλακὰς θάνατον λογισθῆναι καὶ ᾅδην καὶ ἀπώλειαν· ἑτοίμα γὰρ φέγγεσθαι ὁ τῆς μαιώτιδος λίμνης ἑπτακαιδεκατοπηχυαῖος κροκόδειλος, τὰς σεπτὰς εἰκόνας εἰδώλα· καὶ τοῦ ταύτας τὴν προσκύνησιν νέμοντας διὰ τὸ ἀφορᾶν εἰς τὴν τῶν πρωτοτύπων ἐντέλειαν, ἑλληνόφρονας καὶ εἰδωλολάτρας, ὁ ἀληθῶς ἰουδαιόφρων, καὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ Θεοῦ λόγου, ἀρνητὴς ἀμεταβλήτως· οὐ μόνον ἀπεφθέγγετο, ἀλλὰ καὶ καθόλου ἐδογμάτιζε καὶ σύνεδον ἰδίαν πολυτρόπως καὶ μετὰ χρημάτων καλαμησάμενος ὡς ἂν τίς εἴπει καὶ ὑπὸ τὸ θέλημα ἑαυτοῦ τὸ βέβηλον καὶ ἄθεον ὑφελκύσας, προϋπέγραφέτε καὶ συνέγραφε ψῆφον ἀψήφιστον, καὶ ἀναθέματος καθυπέβαλε τοὺς ἀνηθικοὺς προσκυνητὰς τῶν ἁγίων εἰκόνων, ὁ ἀναθέματος ἄξιος, οὗ καὶ τετύχηκε, καὶ ἦν ἰδεῖν ἔκτοτε τὸν χαρακτῆρα Χριστοῦ καὶ τῆς τεκούσης αὐτόν, ριπτούμενον κατὰ γῆς, καὶ πτυόμενον· πατούμενον· τιτάνῳ χριομέ-

νον· πηλῷ φυρόμενον, παίγνυον προκείμενον· καὶ πάλιν φεῦ τοῦ θεάματος, προδιδόμενον καὶ πάσχοντα καὶ ἀναστανρούμενον ἐν εἰκόνι αὐτοῦ τὸν ἐμὸν Ἰησοῦν· ἀτιτυπούμενον δὲ ἐν τοῖς ναοῖς καὶ τοῖς βασιλικοῖς προστόοις τὸν τοῦ γυπὸς καὶ τοῦ κόρακος· καὶ τῶν ἱπποδρομίαις ἡνιόχων τὰ τέτρωρα, τοσοῦτον δὲ μᾶλλον τῶν ἄλλων ἁγίων χαρακτήρων ἀπηχθάνετο τῷ τῆς Θεομήτορος τῆς ἐμῆς Δεσποίνης καὶ Κοσμοσώστιδος, ὡς διὰ τοῦ τοιούτου πρὸς αὐτὴν τῶν πιστῶν ποιουμένων τὰς ἱκεσίας καὶ τὰς παννύχους στάσεις· καὶ παρακινούντων μετὰ δακρύων εἰς πρεσβείαν τοῦ Υἱοῦ αὐτῆς καὶ Θεοῦ ὅσον καὶ βλασφημεῖν ἄντικρυς καὶ ἀρνεῖσθαι πάντι αὐτήν, ὡς μὴ δυναμένην μετὰ τὸν τόκον μεσιτείας ποιεῖσθαι ὑπέρ τινος, βεβαιοῦν δὲ τὸν λόγον ὁ ἄλογος πειρώμενος.

Μιᾷ τῶν ἡμερῶν παρισταμένων αὐτῷ τῶν συμφρονούντων, πλήσας φασκόλιον χρυσοῦ καὶ ἐπιδείξας μετάρσιον, πόσου ἔφη ᾧ ἑταῖροι τουτὶ ἄξιον; τῶν δὲ φησάντων ὅτι πολλοῦ· καὶ τάχεις πολλῷ αὖθις ἐκχέας τὰ ἔνδον, καὶ κενὸν αἰωρήσας καὶ ἐπειπών, ἄρτι πόσου; καὶ ἀντακούσας οὐδενὸς ἐτόλμησεν ὦ βραδυτῆτος θείας δίκης, ἐξερεύξασθαι λόγον παράνομον ὁ ἀκάθαρτος, ὅτι οὕτως καὶ ἡ Μαρία ἕως μὲν εἶχε τὸν Χριστὸν ἐν τῇ κοιλίᾳ αὐτῆς, τιμῆς ἦν ἀξία, μετὰ δὲ τὸ τεκεῖν οὐκέτι, ἀλλ' ὡς μία τῶν κοινῶν γυναικῶν τοῖς ὀρθὰ φρονοῦσιν ὡς ἐγὼ λογίζεται· ἐν τούτοις πάντα μετὰ θορύβου, αἱ Ἐκκλησίαι, αἱ ἀγοραί, οἱ στενοποί, τὰ τῶν μοναχῶν καταγώγια, οὓς ἡ μανιώδης ἐκείνη καὶ τῆς ἐμπαθοῦς ζωῆς ἀπολαύουσα χοιρώδης ψυχή, τοσοῦτον ἐμυσάττετο, ὥστε θεσπίσαι μή τινα τοιοῦτον εὑρίσκεσθαι ἀνὰ πᾶσαν τὴν οἰκουμένην, σκοτενδύτας αὐτοὺς ἀποκαλῶν καὶ ἀμνημονεύτους.

Ἐμίσει γὰρ τοὺς πατέρας, καὶ διὰ τὸ ἐγκρατὲς καὶ καταφρονητικὸν τῆς σωματικῆς τρυφῆς καὶ τῶν τοῦ κόσμου δοκούντων καλῶν· πλέον δὲ ὅτι ὑπ' αὐτῶν ἀδεῶς ἠλέγχετο ὡς ἀσεβὴς καὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ Χριστοῦ ἀπαγορευτὴς κραταιότατος· διὰ τοῦτο, τοὺς μὲν ἐξορίαις μακραῖς παρέπεμψεν, ἑτέρους λιμῷ ἀπέκτεινεν· ἄλλους βυθῷ θαλαττίῳ ἐναπέπνιξεν· ἄλλων τὰς ῥίνας ἀπέτεμε καὶ τὰς χεῖρας, καὶ τὰς γενιάδας πίσσῃ χρίσας τῷ πυρὶ ἀνῆψεν· ἔστι καὶ οὓς τῷ μαρτυρικῷ τέλει διὰ μυρίων ποινῶν φανερῶς ἀπέδωκε, καὶ διὰ τῆς λεωφόρου συρῆναι τούτους διεκελεύσατο, ροπάλοις καὶ λίθοις βαλλομένους, καὶ τὰ μέλη ταῖς πέτραις διασπωμένους· καὶ τὰς γαστέρας διαρρηγνυμένους, καὶ τὴν ἔσωθεν οἰκονομίαν πᾶσαν ἐκκεχυμένους ἀπηνῶς· καὶ τέλος ριπτομένους, ἐν τοῖς τῶν καταδίκων τόποις· ὧν τὰ πάθη εἰς πιστώσεται, ὁ καὶ ὑπὲρ παθῶν Στέφανος ὁ τοῦ Αὐξεντίου· γνώριμον δν ἄνωθεν καὶ ἐκ προοιμίων φθάσας ὁ λόγος ἐδήλωσεν· γνώριμον ὄντα Θεῷ καὶ Ἀγγέλοις καὶ ἀνθρώποις· καὶ τῆς Βυζαντίδος γέννημα καὶ θρέμμα καὶ καύχημα καὶ ἐντρύφημα· τοιαῦτα τὰ τοῦ Κοπρωνύμου βδελυρὰ μετὰ δαιμόνων κατορθώματα. Ἐπεὶ δὲ ἔδει καὶ τοῦτον ποτὲ ἐκ μέσου γενέσθαι, βιαίως τὴν ἀθλίαν ψυχὴν ἀπορρήξαντα. Λέων ὁ τούτου υἱὸς τὴν βασιλείαν διαδέχεται, ἀνὴρ ἀπόνηρος μὲν ὅσον πρὸς τὴν τοῦ πατρὸς πονηρίαν καὶ μοχθηρίαν· καὶ μήτε τινὰ βιασάμενος πρὸς τὴν πατρικὴν τοῦ πατρὸς ἀπιδεῖν θρησκείαν μήτε μὴν ἀποσπάσας αὐτήν, καὶ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ τέλεον τὸ ἀφρόντιστον ἀφοσιωσάμενος· τέως ἐφησυχάζων τοῖς πράγμασιν ὥσπερ τις ἠλίθιος, ἵνα

ἔχοι ἄρχειν ἐπὶ πολὺ· πέντε διῆλθον ἐνιαυτοί, καὶ ἀπεβίω καὶ οὗτος ὁ ἐξημισείας καλὸς βασιλεύς· τὰ δὲ μετὰ τοῦτον, ἐπισκοπῆ τίς θεϊκὴ καὶ εἰρηνικὴ τελεία κατάστασις· δόξης γὰρ ἐν ὑψίστοις Θεῷ οὔσης, ἀπεστάλη καὶ ἐπὶ γῆς εἰρήνη· ἡ βασιλεύσασα τότε Εἰρήνη ἡ φιλευσεβὴς καὶ φιλόθεος· καὶ φιλομόναχος καὶ φιλόπτωχος· ἥτις τῶν ρωμαϊκῶν σκήπτρων ἐκ Θεοῦ τυχοῦσα μετὰ τοῦ βλαστοῦ αὐτῆς Κωνσταντίνου, εἰρήνην ἄκραν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ καὶ τοῖς μοναστηρίοις ἐχαρίσατο, καὶ ταῖς σεπταῖς ἁγίαις εἰκόσι τὴν προσκύνησιν ὡς ἐχρῆν αὖθις ἀπένειμε συνεργὸν ἔχουσα τὸν μέγα ἐν πατριάρχαις Ταράσιον, καὶ τοὺς ἐν ἐξορίαις πατέρας, μετὰ τιμῆς τῆς προσηκούσης ἀνεκαλέσατο, καὶ πληθυσμὸν μοναχῶν ἐν τῇ βασιλευούσῃ συνήθροισε, καὶ μοναστήρια καὶ ἀσκητήρια, καὶ πτωχοτροφεῖα σὺν τῇ ἀνορθώσει τῶν προσόντων καὶ ἕτερα πλείονα ἀνήγειρε, καὶ χαρὰν ἀνυπέρβλητον τοῖς φιλευσεβέσιν ἐχαρίσατο, εἰ καὶ παρωράθη μετὰ καιρὸν καὶ ἐπεβουλεύθη καὶ ταῦτα πρὸς υἱοῦ. Καὶ αὖθις ἀνηγορεύθη μετὰ πλείονος τῆς τιμῆς, τιμωρησαμένη καὶ ἄκουσα πλὴν πρὸς σωφρονισμόν, καὶ δι' ὑπόδειγμα δικαιοτάτης καὶ ἀπροσωπολήπτου βασιλείας, τὸν νεωτερισάμενον τόκον. Ἀλλ' ἐπειδὴ καὶ Λάζαρος ὁ φίλος Χριστοῦ τεταρταῖος νεκρὸς κείμενος ἐξυπνίσθη παρ' αὐτοῦ, καὶ τῆς ζωώσεως παραδόξως ἔτυχε πρὸς πίστωσιν τῆς ἀπιστουμένης παρὰ τῶν Ἰουδαίων κοινῆς ἀναστάσεως. Ἀκόλουθον δὲ ἦν καὶ τῆς ἀνθρωπίνης φύσεως διὰ τὴν παράβασιν ἀπαράθραυστον ἐπιτίμιον, τὸ καὶ αὖθις ἀποθανεῖν· οὐκ ἔστι γὰρ ἄνθρωπος ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον· οὐδὲν κενὸν εἰ καὶ ἡ εὐσεβεστάτη Βασίλισσα Εἰρήνη τέλει τοῦ βίου χρῆται κἂν καὶ τῆς υἱϊκῆς ἐπιβουλῆς ἐρρύσθη καὶ εἰς τιμὴν βασιλικὴν αὖθις ἀνεκομίσθη πρὸς ἐλεγμοὺς τῆς ἀσθενείας τῶν παραλόγως ἐπιβουλευόντων, ὅμως τέλει τοῦ βίου καὶ αὕτη εὐσεβῶς παραδίδοται, καὶ μετ' αὐτὴν Νικηφόρος σκηπτοῦχος ἀναδείκνυται· ἀνὴρ τἆλλα μὲν μηδὲν λυμηνάμενος τὴν Ἐκκλησίαν, ἀλλὰ καὶ εὐσεβῶς κράτιστα· πλὴν διὰ τὴν ἐκδίκησιν τῆς πατρικῆς ἐπιμοιχομιξίας, ἣν ἐξήλεγχε κατὰ κράτος Θεόδωρος ὁ πολύαθλος ὁμολογητὴς ὁ τοῦ στουδίου καθηγούμενος, καὶ τὴν μετὰ χειρὸς βασιλικῆς ἀποκατάστασιν ἐν τῇ Ἐκκλησίᾳ τοῦ ἀνιέρου ἱερέως ἐκείνου Ἰωσήφ, τοῦ τὸν ἄθεον γάμον ἱερολογήσαντος, χωρὶς τῆς Ἐκκλησιαστικῆς προτροπῆς, οἶμαι μεγάλα τῷ Θεῷ προσκεκρουκώς, οὐκ οἶδα δὲ εἰ καὶ ἐλεηθεὶς διὰ τὴν ὡς φάσιν ἀφθονωτάτην αὐτοῦ χεῖρα τὴν πρὸς τοὺς δεομένους, πλὴν καὶ οὗτος ἀτίμως καταλύει τὸν βίον, χερσὶ Βουλγάρων τὰ θρακῶα κλήματα ληΐζομένων λειφθεὶς ὥς τις παγανὸς ὁ τῶν ρωμαίων Βασιλεύς, καὶ τὴν κεφαλὴν ἀφαιρεθεὶς καὶ παίγνιον ἐκείνοις καταστάς, αἰσχύνη δὲ καὶ ὄνειδος τῇ τῶν Αὐσόνων ἐπικρατείᾳ. Ἀντεισάγεται δὲ ψήφῳ θείῳ Βασιλεὺς ὁ τὴν τοῦ κουροπαλάτου ἀξίαν, ἐπωνυμίαν κτησάμενος, Μιχαὴλ ἐκεῖνος ὁ εὐσεβέστατος καὶ φιλανθρωπότατος, ὁ τῆς ἀληθείας φροντιστὴς καὶ τῆς εἰρήνης ἐπιμελητής, καὶ τῶν ἐν ἐξορίαις ἐννομώτατος ἐκδικητής, καὶ μᾶλλον τοῦ ἀοιδίμου Θεοδώρου ἀνακαλεστὴς εὐλαβέστατος, καὶ τοῦ ἀνιέρου Ἰωσὴφ διώκτης ἀξιεπαινετώτατος, ὃς δι' ἁπλότητος ἐκουσίου ὑπερβολὴν καὶ εὐεργεσίας ἔνδειξιν προβάλλεται Λέοντα τὸν ἀρμένιον, στρατηγὸν πάσης ἑῴας· ἐκεῖνος δὲ τὴν διπλόην νοσῶν, οὐ

γὰρ ἁπλοῦν εὑρίσκω τὸν τῶν Ἀρμενίων γένος, εἴρηκέ τις πολὺς τὰ θεῖα, καὶ τοῦ καιροῦ δραξάμενος καὶ τὸ στρατιωτικὸν ἅπαν θωπείαις καὶ ὑποσχέσεσι, καὶ χρημάτων δόσεσι, καὶ χρυσῶν ἐκχύσεσι, ὑφ' ἑαυτὸν ὑποποιησάμενος, κατὰ τοῦ εὐεργέτου τυραννίδα ἐκμελετᾷ καὶ ἀποκαθίσταται.

Ὡς δὲ δῆλον ἐγεγόνει τῷ Βασιλεῖ Μιχαὴλ τὸ ραδιούργημα, καὶ ἀνίατον διέγνω τὸ τεχνούργημα. πρὸς γὰρ ἐκχύσεις ἀφῶρα τὸ τέλος ἐμφυλίων καὶ χριστιανικωτάτων αἱμάτων, διὰ τὴν τῆς παρανόμου ἐφέσεως καὶ ἐπιτυχίας, ἐξίσταται ἑκὼν ὁ ὄντως φιλανθρωπότατος Βασιλεὺς τῶν βασιλικῶν θρόνων, καὶ παραχωρεῖ τοῦτον τῷ τυράννῳ, ἵνα μὴ ἐν ὀφθαλμοῖς αὐτοῦ ἴδῃ αἷμα ὁμοφύλων σταζόμενον, καὶ ἀντὶ τῶν ἀνακτόρων ἀσπάζεται τὴν μετὰ τῶν μοναχῶν στενοτάτην συνοίκησιν, καὶ ἀντὶ τῆς πορφύρας τὸν ρακώδη καὶ τρίχινον χιτωνίσκον, καὶ τὴν Θεῷ φίλην ἡσυχίαν, πάντως ἀνώλεθρον ἑαυτῷ βασιλείαν προμνηστευόμενος, ἣς ἀναμφιβόλως ἂν καὶ ἐπέτυχε.

Καὶ τὰ μὲν εὐσεβοῦς Μηχαὴλ τοιαῦτα· τὰ δὲ τοῦ τυράννου Λέοντος οἷα ὡς λίαν ἁρπακτικὰ καὶ τοῦ ὅλου σώματος τῆς Ἐκκλησίας, τιμητικὰ καὶ τῷ Θεῷ μισητά, εἰ καὶ τὰ προκαταρκτικά, οὐδὲν τῆς ἀλωπεκῆς ἐκλείποντα, καὶ τῆς τοῦ πολύποδος πολυχρόου ἰδέας διὰ τὴν λήθην τῆς ἄγρας μικρὸν ἀποδέοντα· πλὴν ἄχρι τοσούτου πραγματευόμενα, ὅσον μὴ τὸ δύστροπον αὐτοῦ γνωρισθῆναι τῇ συγκλήτῳ, καὶ τῆς βασιλείας ἀπορραγῆναι, κάλυμμα προτιθεμένου τῆς κακῆς τυραννίδος, τὴν μετ' αὐτὴν ψευδῆ χρηστότητα καὶ τὴν περὶ τὸ σέβας ἐνυπόκριτον ὀρθοδοξίαν, ὡς δὲ κατὰ ῥοῦν αὐτῷ ἐχώρει τὰ πράγματα, καὶ τὰ κατὰ νοῦν ἐπηνένετο, καὶ χρόνος συνήθως τρέχων τὸ ἀστασίαστον τῇ βασιλείᾳ αὐτοῦ ἐχαρίζετο, καὶ οὐκ ἦν φόβος ἐπιβουλῆς ἔκ τε τοῦ δήμου καὶ τῆς συγκλήτου, μήτε μὴν ἐξ ἐθνῶν, τότε δὴ τότε ἤρξατο φυσιοῦσθαι ὁ ὑπόγαιος ἀσπάλαξ, καὶ τὴν κεφαλὴν κατὰ μικρὸν αἴρειν, καὶ τὸ στόμα πλατύνειν καὶ ἐξερεύγεσθαι πονηρὰ, κατὰ τοῦ δι' αὐτὸν τὸν ἀχάριστον σάρκα φορέσαντος Υἱοῦ τοῦΘεοῦ, καὶ τῆς προσκυνητῆς εἰκόνος αὐτοῦ καὶ πάντων τῶν Ἁγίων, οὐ δεῖ λέγων τοίχοις καὶ σανίσι χρωματουργεῖν καὶ διαμορφοῦν τὸν Χριστόν, Θεὸν ὄντα ἀπερίγραπτον καὶ ἀνείδεον ὡς ἄϋλον. Ἀλλ' οὐδὲ τοὺς προφήτας καὶ μάρτυρας· οὔτε μὴν τὰ τούτων λείψανα, σέβεσθαι. τοῦτο μέν, ὅτι παντελῶς ἀλόγιστον καὶ τῆς ἑλληνικῆς τερθρείας ἐφεύρεμα τὸ καλεῖν τὴν κονίαν καὶ τὴν σανίδα καὶ τὸ χρῶμα, Παῦλον ἀπόστολον, ἢ Δαυὶδ τὸν προφήτην· οὐδὲ γὰρ ἠξίου ἁγίους ὀνομάζειν κατὰ τὸν ὁμώνυμον καὶ ὁμόφρονα μικρὸν Λέοντα τὸν ἐξ Ἰσαυρίας, καὶ τὸν ἐκείνου βδελυρώτερον καὶ ἀσεβέστερον τόκον Κωνσταντῖνον τὸν καβαλῖνον, καὶ χριστιανικοτάτους ἐκάλει Βασιλεῖς ὡς τάχα τὴν αὐτῷ δοκοῦσαν πίστιν ὀρθοτομήσαντας, ἀφ' ὧν παρέλαβε καὶ τὴν αἵρεσιν· τοῦτο δὲ ὅτι καὶ θνητοὶ ἄνθπωποι ἦσαν, καὶ νεκρωθέντες, οὐδὲν πλέον ἔσχον τῆς κοινῆς φύσεως ὑπὸ φθορὰν καταντήσαντες καὶ δυσωδίας, ὧν τῶν λειψάνων οἱ ἁπτόμενοι, μιαίνονται· πᾶς γὰρ ὁ ἁπτόμενος νεκροῦ φησὶν ἀκάθαρτος.

Ἐπεὶ δὲ τοιαῦτα φρονῶν καὶ λέγων ὁ ἄνους, οὐ μόνος ἦρκει πρὸ κύρωσιν τῶν ὑπ' αὐτοῦ κακῶς δοξαζομένων, ἀλλ' ἐδεῖτο καὶ ἑτέρων ἐπιτηδείων, πρὸς τὸ συνιστᾷν τὸ ἀσύστατον αὐτοῦ βούλημα ὡς ψευδές, καὶ ἀνεκοινοῦτο τὴν ἔνδειαν τοῖς ἐν νυκτὶ αὐτῷ ὑπουργοῦσι, μηνυτὴν κακοῦ συνεργοῦ ἀψευδέστα-

τον αὐτὸν τὸν ἀεὶ ψευδόμενον δαίμονα εὐτυχῆ· λέγεται γὰρ μιᾷ τῶν ἡμερῶν σύνουν γενόμενον τὸν τύραννον, καὶ διαλογιζόμενον πῶς εὑρήσει τὸν συνεργήσαντα, ἐπιστῆναι αὐτῷ τὸν Σατανᾶν φαντασιωδῶς, μετὰ φωτεινοῦ τοῦ σχήματος, κατέχοντα ἐκ χειρὸς Ἰωάννην τὸν οὕτως ἐπιλεγόμενον γραμματικόν· ἄνδρα τῷ ὄντι φίλον ταῖς ἀποστατικαῖς δυνάμεσιν, ὡς ψεύδους παντὸς ταμεῖον ὑπέρπληρες, καὶ συνήγορον τοῦ κακοῦ ἐμπειρότατον, καὶ εἰπεῖν. Δέξαι τοῦτον ὦ φίλε μου Βασιλεῦ· ἱκανὸς γάρ ἐστι εἰς τὸ ἀποπληρῶσαι σε τὰ καταθύμια, ὅτι σκεῦος ἐκλεκτόν μου ἐστί· τοῦ δὲ εἰπόντος καὶ παραδόντος ἀφαντωθέντος ἐξαίφνης ὁ τῇ τοῦ σατανᾶ σχολῇ μαθητευθεὶς γραμματικός, προσδέχεται παρὰ τοῦ κρατοῦντος, καὶ τοῦ μυστηρίου τοῦ μυσαροῦ κατήκοος γίνεται· καὶ πλουτίζεται παραχρῆμα καὶ μετὰ τῶν ἐν ἀξιώμασι τὴν στᾶσιν ἀποκληροῦται, δοὺς πρῶτον ὑποσχέσεις ῥαδίως ἐκπεράναι τὰ δεδογμένα τῷ Βασιλεῖ, διά τε τοῦ εὑρεῖν πλείονας τοὺς συντελέσαντας εἰς τὰ τῆς ὑποθέσεως, καὶ τὸ μή τινα δυνηθῆναι ταῖς αὐτοῦ πιθανολογίαις ἀντιστῆναι τῶν ὅσοι πρὸς διάλεξιν ὑπαντήσειεν· ἤσθη τούτοις ὁ φρενόληπτος Βασιλεύς, καὶ μὴ μέλε εἶπεν ἑταῖρε πειρῶ τέως ἐφευρίσκειν τοὺς συμφρονήσαντας, καὶ τοῖς ἐν ἄλλοις ἔξεις κἀμὲ συνεργόν.

Βραχὺς ὁ καιρός, καὶ ὁ τοῦ Λέοντος χαμαιλέων σύμφρονας παρίστησιν τῷ τυράννῳ· ἐκ μὲν τῶν τῆς Συγκλήτου, Ἰωάννης ᾧ τὸ ἐπίκλην Πτέκτας, καὶ Εὐτυχιανόν· ἐκ δὲ τῆς ἐκκλησίας Ἀντώνιον τὸν Συλαίου· ἐκ δὲ τῶν ἐν μοναστηρίοις, Λεόντιον τινα, καὶ Ζωσιμᾶν· ὡς παρὰ πόδας μετὰ τὸ συμφληναφῆσαι φωρατὸς εἰς μοιχίας γενόμενος καὶ ἄλους, τὴν ῥίνα τμηθεὶς καὶ τῆς ἀπονοίας ἀγχόνῃ συσφιχθεὶς τὴν ἀθλίαν ψυχὴν βιαίως ἀπέρριψε, τῆς θείας δίκης ἐνταῦθα μὴ μελησάσης ὡς εἴωθεν· οὓς ἰδὼν ὁ λεοντόθυμος καὶ ἀγαασθείς, καὶ πότον τελέσας μετ' αὐτῶν ἐν ἑσπέρᾳ, καὶ τὴν ἰδίαν βουλὴν ἀνακοινωσάμενος, συμβουλὴν δέχεται μετὰ τὴν ἕω καλέσαι τὸν πατριάρχην μετὰ τῶν συλλειτουργῶν αὐτοῦ καὶ παντὸς τοῦ κλήρου, ναὶ μὴν καὶ τοὺς προεξάρχοντας τῶν μοναστηρίων οὐ τῶν ἐν πόλει μόνον, ἀλλὰ καὶ τῶν ἔξωθεν καὶ πλησιοχώρων, ὥστε πάντας ἀπαντῆσαι τάχιον πρὸς τὰ ἀνάκτορα ἀκουσομένους ὑποθέσεώς τινος ῥηθησομένης ἐξ ἀνάγκης τῷ Βασιλεῖ. Καὶ εἰ ἐλεύσονται εἶπον σὺ μὲν κατάρχου τῶν λόγων ἡμέρως, ἡμεῖς δὲ ἀπορίαις δυσλήπτων προβλημάτων, τὰ στόματα αὐτῶν συντόμως ἐμφράξομεν, καὶ ἔστω σοι παραυτίκα λαβὴ εὐλογοφανὴς εἰς τὸ θεσπίσαι τὸ βουλητόν σοι, καὶ εὐπαράδεκτον τοῦτο θέσθαι πᾶσι τοῖς ὑπὸ χεῖραν. Ἀρεστῆς οὖν δοξάσης τῆς συμβουλῆς μετὰ τὸν ὕπνον καὶ τὸ πέρας ταύτης ἐπιτείνεται, καὶ ἀθροίζεται πρὸς τὰ βασίλεια πᾶς ἱερατικὸς σύλλογος, καὶ ἡ τῶν μοναχῶν ἔγκριτος καὶ ἐξάρχουσα συμμορία· προηγεῖται δὲ ὅλων ἡ οὐρανομήκης κεφαλή, ὁ θεοπρόβλητος φημὶ καὶ μέγας ἀριστεὺς Νικηφόρος ὁ πατριάρχης, οὐ μόνον οὐκ ἀγνοήσας τὰ μελετηθέντα τῷ Βασιλεῖ καὶ τοῖς σὺν αὐτῷ, ἀλλὰ καὶ τοῖς μετ' αὐτοῦ, νυκτὸς ἐκφωραθείς· ὅμως τοῦ Βασιλέως ἔωθεν προκαθήσαντος κατὰ τὸ εἰωθός, καὶ τοὺς συμμύστας πλησίον ἑαυτοῦ που κατακρύψαντος τῷ πατριάρχῃ πρῶτον τὴν εἴσοδον ἐπιτρέπεται, καὶ ὃς εἰσήει καὶ συγκαθεδρίας ἠξιώσατο· τὴν δὲ κατὰ μόνας ὁμιλίας οὐ κατεδέξατο, καίτοι γε ἀ-

ξιούμενος ἀκοῦσαι. Ἀλλὰ κάλει φησὶ Βασιλεῦ καὶ τοὺς σὸν ἐμοί, καὶ τῶν δεδογμένων σοι πάντες ἀκουέτωσαν.

Τούτου δὲ γενομένου καὶ πάντων εἰσιόντων μετὰ παραστήματος ἀπτοήτου, χωρὶς μέν τοι τῶν καταρχόντων μοναχῶν τῶν ἔξω τῆς πόλεως μοναστηρίων· τοῦτο προστάξαντος τοῦ τυράννου δι' ἐλπίδα δευτέρας ἐπιτυχίας. Ὁ πατριάρχης προφθάσας τὴν βασιλικὴν δηλητηριοφόρον γλῶσσαν, ἐξεφώνησε· πατέρες καὶ ἀδελφοὶ εἴπατέ μοι δύναται τὸ μὴ ὂν καὶ τὸ μὴ ἱστάμενον πεσεῖν; ἀνταποκριθέντων δὲ πάντων τό, οὔ· αὖθις ἐπιλύων διὰ δευτέρας ἐπερωτήσεως τὸ αἰνιγματῶδες ἔφησεν· ἔπεσον αἱ ἅγιαι εἰκόνες ἐπὶ τῆς βασιλείας τῶν Ἰσαύρων, ἢ οὔ· γνούς δὲ τὴν ἐρώτησιν τοῦ πατριάρχου ὁ Βασιλεὺς ὅπως φέρει ἐλεγμοῦ, προφθάνει καὶ αὐτὸς τὰς τῶν ἐπερωτομένων γλώσσας, καὶ τῇ χειρὶ κατασιγάσας πρὸς μὲν τὸν πατριάρχην, τὸν λόγον οὐκ ἀποτείνεται· ἑώρα γὰρ τὸ βέλος ἐν κυκλωτερεῖ τόξον ὅσον οὔπω κατ' αὐτοῦ ἀφιέμενον καὶ τὴν καιρίαν ἀπειλοῦν, καὶ φεύγων τὴν ἄλλην ἐτρέπετο· πρὸς δὲ τὸ συλλεχθὲν πλῆθος, τοιαῦτα μεθ' ὑποκρίσεως ἀποφθέγγεται. Ἐγὼ μὲν ὦ παρόντες καὶ τοῦ αὐτοῦ δόγματος ὑμῖν μετέχω, καὶ τῆς αὐτῆς πίστεως, καὶ προσκύνησιν τῶν εἰκόνων ποιοῦμαι· καὶ ἰδοὺ ἐνώπιον ὑμῶν ἐκβαλὼν ἐγκόλπιον ἐξεικονισμένον, προσκυνῶ καὶ ἀσπάζομαι· ἀλλὰ νῦν ἐξανέστησαν ἄνδρες σοφοί τινες καὶ πολλοὶ τὰ θεῖα, βίον ἀκηλίδοτον ἔχοντες οἷς καὶ αὐτὸς προσμαρτυρῶ τὸ ἀνεπίληπτον, ὡς ἐρευνητὴς ἀκριβὴς τῶν κατ' αὐτοὺς γεγονώς λέγοντες μὴ εἶναι ταύτην τὴν ὀρθὴν πίστιν ἣν ἡμεῖς σέβομεν ἀλλ' ἐθνικήν τινα καὶ πεπλανημένην· ἑτέραν δὲ ἣν αὐτοὶ πολλὰ καμόντες διέγνωσαν· βούλομαι οὖν παραχθῆναι αὐτοὺς μέσον ὑμῶν καὶ διάλεξιν ποιήσασθαι· καὶ οἱ μὲν εὑρεθῶσιν ἐκεῖνοι τὰ κρείττω λέγοντες καὶ ἡμῖν ἕως ἄρτι ἀγνοούμενα, τοῖς ἐκείνων ἐξ ἀνάγκης συνθώμεθα καὶ στοιχήσομεν· εἰδ' ἡμεῖς πάλιν ἐμμενοῦμεν οἷς παρελάβομεν. Οὕπω τὸ τέλος εἶχεν τὰ λεγόμενα καὶ διεγνωσθέντα ὅπως φέρει τῆς κακονοίας, οὐδόλως ἀνεκτὰ ἦσαν τοῖς πατράσιν, ἀλλ' ὁμοῦ πάντες καὶ καθένας ἐβόησαν· ἔγνωμεν τὸ ραδιούργημα βασιλεῦ καὶ τὴν κρυπτουμένην καὶ ὑποκρινομένην σκηνήν, οὐκ ἠγνοήσαμεν· μάτην ζητεῖς τὴν διάλεξιν τῇ ἐξουσίᾳ χρώμενος, καὶ ταύτην συνεργὸν μετὰ τὴν ἧτταν τοῖς συμμύσταις ἀφοσιωσάμενος· προανηρέθη παρὰ τῶν πατέρων ἡμῶν, πᾶσα συζήτησις καὶ τῷ δοκεῖν δικαιολογία περὶ τοῦ μηδεῖν προσκυνεῖν τὰς σεπτὰς εἰκόνας ἐν ταῖς ἡμέραις τῶν βλασφήμων Βασιλέων Λέοντος τοῦ Ἰσαύρου καὶ τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου διεγνώσθη ἡ ἀλήθεια· ὑπερυψώθη τὸ ἐπέκεινα παντὸς ὑψώματος· προσκυνεῖται καὶ εἰς αἰῶνας προσκυνούμενον ἔσεται πᾶν ἐκτύπωμα θεῖον οὐδεμία χρεία τῆς περὶ τῶν τοιούτων διαλέξεως· σὺ τῶν δημοσίων μόνων τέταξαι λογιστὴς καὶ κριτής, τῶν δὲ περὶ τοιῶνδε ζητημάτων, ἡ Ἐκκλησία καὶ ταύτης προκαθήμενος· ἀλλὰ καὶ ἐγὼ φησιν ὁ εἰς πολλὰ μεταμορφούμενος πρωτεύς, τέκνον τῆς Ἐκκλησίας· καὶ οἱ Πατέρες, εἰ τέκνον τῆς Ἐκκλησίας, τάχ' ἂν τοῖς Πατράσιν ἐπείθου. Καὶ ὁ ποικιλότροπος, ἀλλ' οὐ μόνον τέκνον, ἀλλὰ καὶ μεσίτης· καὶ τις τῶν πατέρων ἀντεβόησεν, οὐκ ἔστιν ὡς φῂς, ἀλλὰ τυραννὶς τὸ φαινόμενον· εἰ γὰρ μεσιτεία ἦν, οὐκ ἂν τοὺς μὲν κακῶς ἐλέγχοντας εἶχες κρυπτομένους παρὰ

σεαυτῷ· τοὺς δὲ καλῶς ἐξωθῇς, καὶ τοῖς σιωπὴν αὐτοῖς ἐπεμήνυες, εἰμὴ βούλοιντο τὰς σοφῶν κεφαλὰς ἀπολέσαι· εἰ γὰρ μὴ τοῦτο ἦν, αἱ μαρτυρίαι ἐκ τῶν θείων γραφῶν, τάχα καὶ ὑπὲρ ποταμοὺς ἐξεχύθησαν· ἀλλ' ἔβυσας ὡς ἀσπὶς τὰ ὦτα σου καὶ οὐ βούλει ἐπακοῦσαι· διὰ ταῦτα γνωστὸς γεγονώς, οὔτε σὺ ἀποκρίσεως ἀξιωθήσῃ, οὔτε οἱ σὺν σοί· καὶ οὕτως μὲν καὶ ὑπὸ τοσούτων ἐλεγχόμενος ὁ παράνομος, ὑπεκρίνετο τέως τὸ μακροθυμεῖν.

Ὀπηνίκα δὲ καὶ Θεόδωρος ὁ στουδίτης, ὁ διάπυρος ὢν τῆς ἀληθείας ζηλωτὴς τοὺς πολλοὺς διατεμών, ἔστη ὡς ἄλλος Δαυὶδ κατὰ τὸν Γολιάθ· καὶ ἐξεβόησεν· οὐκ ἔξεστί σοι Βασιλεῦ παραλύειν τοὺς ἐκκλησιαστικοὺς θεσμούς· ἀκούεις γὰρ καὶ τοῦ Ἀποστόλου λέγοντος· καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ, πρῶτον Ἀποστόλους, δεύτερον προφήτας, τρίτον ποιμένας καὶ διδασκάλους πρὸς καταρτισμὸν τῶν Ἁγίων, καὶ οὐ προσέθηκε καὶ Βασιλεῖς· μάτην οὖν βιάζεις ἡμᾶς καὶ οὐκ ἀκουσόμεθα σου.

Τότε τῷ θυμῷ ὑπερζέσας μεθ' ὕβρεως τῶν ἀνακτόρων προσέταξεν ἐξαχθῆναι, καὶ τοὺς μὲν τῶν Ἀρχιερέων ὅσοι τοῦ δυτικοῦ κλίτους ἦσαν, ἐξορίστους παρέπεμψε πρὸς τὰ τῆς Ἀνατολῆς νοσωδέστερα μέρη. τοὺς δ' αὖ ἐκ τῆς ἕω πρὸς τὰ τῆς Δύσεως, τοὺς δὲ μοναχοὺς ἐν ταῖς ἰδίαις μοναῖς ἐναπέκλεισε, πρόσταγμα θεὶς τὸν εὑρισκόμενον ἔξωθεν, ἢ εἰσάγοντα ἑτέρους καὶ προσομιλοῦντα περὶ τῆς προσκυνήσεως τῶν σεπτῶν εἰκόνων, κεφαλικὴν ὑφίστασθαι τὴν τιμωρίαν· τὸν δὲ στερρὸν Στουδίτην παραυτίκα ὑπερορίζων μανικῶς ἀπεφήνατο μὴ ἰδεῖν τὴν βασιλεύουσαν ἄχρι τῆς βιοτῆς αὐτοῦ· ἐπεὶ δὲ τὸν ἴδιον θυμὸν μικρὸν ἐθεράπευσε, προστάσσει καὶ τοὺς προεστῶτας τῶν ἔξωθεν μονῶν εἰσαχθῆναι μεθ' ὧν ἦν καὶ ὁ θαυμαστὸς τῷ ὄντι Νικήτας δι' ὃν καὶ τὸν τοσοῦτον τοῦ λόγου προκατεβάλλομεν θέμεθλον, ἵνα δείξωμεν ἀληθῶς ὁποῖον στύλον ἡ ὀρθόδοξος πίστις ἑαυτῇ ὑπηρείσατο.

Ἅμα γοῦν τῷ προστάγματι ὁ γεννάδας πρῶτος εἰσήρχετο, ὥσπέρ τις κριὸς ἐπίσημος ἀγέλης προβάτων προσδεύων, τῶν λοιπῶν ἑφεπομένων, πρὸς οὓς ἐμβλέψας ἤμερον τάχα ὁ ἀνήμερος θήρ, θωπευτικοὺς ἐπηφίει τοὺς λόγους, οὐδὲν κενὸν οὐδ' ἀλλόκοτον ὑμᾶς ἐπιζητῶ πνευματικοὶ πατέρες, κἂν παρὰ τῶν θρασέων ἐκείνων καὶ ἀναισχύντων, οὓς ἑωράκατε ἐξελθόντας, ἀφρόνως τοῦτο ἐπερκαλῶμαι. Διδάσκει γάρ με τἀληθὲς ἡ Γραφὴ λέγουσα· «Πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτόν, ἐν πνεύματι καὶ ἀληθείᾳ »δεῖ προσκυνεῖν·» οὐχὶ ἐν εἰκόσι χρωματικαῖς ἐμπεριγράπτως καὶ σανίσι μικραῖς· πρὸς ταῦτα τὰ ῥήματα μηδὲ μικρὸν περιμείνας ὁ Ὅσιος, ἀνεκραύγασεν ἠγνόησας παντελῶς τὴν δύναμιν τοῦ γραφικοῦ ρητοῦ, παράνομε Βασιλεῦ καὶ τὴν αἰτίαν δι' ἣν ἐρρέθη, καὶ τὴν μετὰ σαρκὸς παρουσίαν τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ ἀναμφιβόλως ἀρνῇ, μεθ' ὧν καὶ οἱ λοιποὶ τὸ αὐτὸ ἐξεβόησαν· ὡς δὲ τὸν θροῦν καὶ αὖθις ἐώρακε, καὶ ἐκ πρώτης ἀφῆς διέγνω ἑαυτὸν καταπαλαιόμενον, θυμομαχήσας συνήθως· καὶ τοὺς λοιποὺς μέν, εἱρκταῖς παραπέμπει. Τὸν δὲ Ὅσιον Νικήταν ὡς προπαρρησιασμένον, ἐν φυλακῇ τῇ ζοφωδεστέρᾳ καὶ δυσωδίας μεμεστωμένῃ, ὅπως τάχιον μὴ φέρων· δεδίδακτο γὰρ ὁ πανώλης παρά τινος τῶν ὑπ' αὐτόν, φύσει ἀηδιζόμενον εἶναι τοῖς τοιούτοις τὸν Ἅγιον, ἀπορρη-

ξει τὴν ψυχήν· ἐπεὶ δὲ πᾶν τὸ πλήρωμα τῶν ὀρθοδόξων ἐκ ποδῶν ἐποιήσατο, παραυτίκα καὶ τὸν Πατριάρχην Νικηφόρον τοῦ θρόνου καταβιβάσας, καὶ ἐν τοῖς ἀντίπεραν τῆς βασιλευούσης μέρεσιν, πρός τι μετόχιον ὑπερορίσας, Θεόδοτόν τινα αὐτῷ ὁμοφρονήσαντα. τὸ ἐπίκλην θυμελικὸν ὁ θυμομάχος εἰς τὸν ἀρχιερατικὸν ἀνάγει θρόνον ἀνθρωπάριον δυστυχέστατον καὶ ἀφελείας σύντροφον· παίγνιον τοῖς πᾶσιν ὂν καὶ καὶ ὑπόθεσιν γέλωτος· δοῦλον τῆς μυσαρᾶς ἡδονῆς, γύναιον ἐπείσακτον ἔχων διὸ ἐν τῇ κοίτῃ αὐτοῦ, προφάσει νοσηλείας νεφρίτιδος· τὸν τοιοῦτον ὁ' ὡς ἔφημεν ἀνάξιον εἰς τὸν θεῖον θρόνον ὁ ἄθεος Ἄναξ, συναθροίζει ἐν τῇ Ἐκκλησίᾳ ἰδίαν σύνοδον. Ἰουδαϊκὸν ἄλλο συνέδριον· καὶ ἐπεὶ μεμαθήκει τινὰς τῶν Ἀρχιερέων τῶν μὴ συμφρονούντων αὐτῷ, ἀνιόντας, πρῶτον μὲν προστάττει τούτους κατὰ γῆς ριφέντας λὰξ κατὰ σπλάγχνων πληγῆναι, καὶ ἀνεγερθέντας, πὺξ κατὰ κόρρης, τὸ αὐτὸ παθόντας, ἀτίμως ἐξωσθῆναι. Ἔπειτα δὲ μετὰ τῶν σὺν αὐτῷ ἀναθέματι καθυποβάλλει τοὺς Ὁσίους Πατέρας, ὁ ἀναθέματος καὶ λιθασμοῦ ἄξιος ἱερόσυλος νέος Ἄχαρ· καὶ οὕτως ποιήσας, κατεισιν εἰς τὰ βασίλεια· δοὺς ἄδειαν τῷ ἀγοραίῳ καὶ δημώδει ἀθροίσματι, τὸ ἀσεβὲς αὐτοῦ δόγμα παντα χοῦ ἀδεῶς ἐκδιδάσκειν, καὶ τὰ τῶν Πατέρων μυκτηρίζειν, καὶ ἐν ταῖς φυλακαῖς εἰσιέναι, καὶ πᾶσαν χλεύην καὶ ὀνειδισμὸν καὶ ἐμπαίγματα κατὰ τῶν μοναχῶν ἀποδείκνυσθαι· ὡς γὰρ ἔφημεν τοῦ καρτερικωτάτου Νικήτα ἐμβληθέντος εἰς ζοφώδη καὶ δυσώδει φυλακήν, καὶ ἐν πολλαῖς ἡμέραις ἐκεῖσε κακοπαθοῦντος, εἰσήεσαν καθ' ἡμέραν πολλοὶ τῶν χυδαίων· τί μὲν οὐ λέγοντες, τί δὲ οὐ πράττοντες, τῶν ὅσα ψυχὴν εἴωθε λυπεῖν καὶ ταῦτα θεοφιλῆ· μάλιστα δὲ τῶν ἄλλων Νικόλαός τις νεανίας ἀκαιρολογίαις χαίρων καὶ τῇ ἀθυροστομίᾳ ἐγκαυχώμενος, καὶ ταῖς αἰσχρολογίαις ἐφηδυόμενος, πολὺν τῷ Ἁγίῳ τῆς θλίψεως τὸν κλύδωνα ἔφερε· καὶ τάχ' ἂν οὐ λώφησις γέγονε τοῦ πειρασμοῦ, εἰμὴ Θεὸς ᾠκονόμησε πρὸς τὴν τοσαύτην ὑπομονὴν τοῦ δούλου αὐτοῦ ἀπιδών, ξένον τι καὶ ἐξαίσιον· ἐν μιᾷ γὰρ τῶν νυκτῶν καθεύδων ὁ τῆς ἀταξίας θησαυροφύλαξ Νικόλαος, ἔδοξεν ὁρᾷν τὸν ἑαυτοῦ πατέρα πρὸ μικροῦ τὸν βίον ἀπολιπόντα, ἐπαπειλοῦντα αὐτὸν καὶ λέγοντα· ἔα· μηδέν σοι καὶ τῷ Δικαίῳ τούτῳ, ἵνα μὴ κἀγὼ ἐνταῦθα κολάσει ὑπόδικος γίνομαι, διὰ τὴν ἀπαιδευσίαν τὴν σήν· καὶ σὺ ἐπιμένων Δαίμονι παραδοθῇς δι' ὅλης σε τῆς ζωῆς τιμωρουμένῳ· ἐπεὶ δὲ ταῦτα ἤκουσεν ὁ Νικόλαος παρὰ τοῦ πατρός, ἃ καὶ ὁ πάλαι Πιλάτος κρίνων τὸν ἐμὸν Ἰησοῦν παρὰ τῆς γυναικός, τοῦ ὕπνου ἐξεγερθείς, οὐκ ἔτι τῷ Ἁγίῳ τὴν ὄχλησιν ἐποιήσατο· ἀλλὰ καὶ τοὺς λοιποὺς διεκώλυσε τὸ ὄναρ ἐπειπών· καὶ συμπάθειαν ἐξητήσατο, καὶ ταύτην τυχών, τοῦ λοιποῦ ἐν σωφροσύνῃ διῆγε.

Μετὰ δὲ ταῦτα πάλιν διαβληθεὶς τῷ Βασιλεῖ ὡς εἴη Νικήτας ὁ τοῦ Μηδικίου διδάσκων καὶ ἐν τῇ φυλακῇ πολλοὺς καταφρονεῖν τοῦ σοῦ προστάγματος, παραδίδοται πρὸς ἐξορίαν ἀνδρί τινι στρατιώτῃ σκληρῷ καὶ ἀσυμπαθεῖ· καὶ ἐξάγεται πεζῇ βαδίζων ὁ τῆς εὐσεβείας πρόμαχος καὶ εἰς κώμην τινὰ Μασαλεὼν ἐπωνομασμένην καὶ πρὸς τὰ ἀνώτερα τῆς Ἀνατολῆς μέρη διακειμένην· οὕπω δὲ ἐκεῖσε τελέσας ἡμέρας πέντε, πάλιν προστάγματος φθάσαντος, εἰσάγεται βιαίως, καὶ μετὰ συντόνου τῆς ὁδοιπορίας παρὰ τοῦ

στρατιώτου, τοῖς ὄμβροις καὶ ταῖς χιόσι, καὶ τῷ παγετῷ προσπαλαίων ὁ ἀθλητής, τοσοῦτον μῆκος ὁδοῦ διανύσας ἐν ἡμέραις ἑπτά· ὅσας δὲ θλίψεις ὑπέστη καὶ εἰς οἵας ἀτονίας σωματικῆς κατέστη ἀτύχημα, οὐκ ἔστιν εἰπεῖν· τὸ δ' εἰσαχθῆναι τοῦτον αὖθις ἐνταυθοῖ, οὐ δι' ἄλλό τι ἐπενοήθη ἢ τὸ μὴ εὑρεῖν μᾶλλον ἐλευθερίαν τὸν Ὅσιον καὶ ἐκδιδάσκειν ἀκωλύτως τὰ δέοντα ἐν τοῖς ἔξωθεν. Καὶ τοίνυν εἰσαχθεὶς ὁ Πατὴρ ἀφείθη πρὸς μικρὸν ἀνεπηρέαστος, οὐχὶ τοῦ τυράννου φιλανθρωπευσαμένου· ποῦ γὰρ παρὰ τοιούτῳ τὸ συμπαθές ; ἀλλὰ σκεψομένου ποίῳ τρόπῳ αὐτὸν τῆς ζωῆς στερήσει, ὃ δὴ καὶ ποιεῖ· καὶ καλέσας Ἰωάννην ὃν ἐκ τῶν χειρῶν τοῦ Σατανᾶ γραμματικὸν καὶ σύμβουλον ἔλαβεν, ἐξεῖπε.

Τάχει πολλῷ ἀνερευνήσας καὶ εὑρὼν Νικήταν τὸν τοῦ Μηδικίου τῷ ἐμῷ θελήματι ἀνθιστάμενον καὶ τοὺς σὺν αὐτῷ συλλαβοῦ· καὶ ᾧ βούλει τρόπῳ κακώσας αὐτούς, ἢ πεῖσον συνθέσθαι οἷς αἱρετὸν ἡμῖν, ἢ ἀπόκτεινον· εἶπεν ἡ μανιώδης γλῶσσα καὶ ὁ πάνθηρ αὐτίκα τοῦ λέοντος διαδραμὼν συνέσχε. Καὶ τοὺς μὲν ἄλλους μετριωτέρας ποσῶς ἐγκαθεῖρξε φυλακαῖς, τὸν δὲ Ὅσιον σὺν τῷ μαθητῇ Θεοκτίστῳ καὶ διαδόχῳ τῆς ἡγουμενίας αὐτοῦ, τίσιν ἐπινοίαις τιμωριῶν οὐ καθυπέβαλε ; παραυτίκα γὰρ διατμήξας αὐτοὺς ἀπ' ἀλλήλων, καθεῖρξεν ἐν φυλακαῖς, πάνυ στενοτάταις καὶ ζοφεραῖς καὶ δυσώδεσι· καὶ διὰ τὰ ἐν τῇ κοίτῃ οὐδὲ σπιθαμιαῖον οὔτε ράκος, ἢ κώδιον, ἢ ψιάθιον συνεισάξαι αὐτοῖς συνεχώρησεν· ἀλλ' οὔτε τροφῆς τὸ βραχύτατον· μόνον δὲ ὕδωρ κἀκεῖνον δυσῶδες καὶ ὀλιγοστόν· καὶ ἄρτου κριθίνου τμῆμα τούτοις μετὰ τρεῖς ἡμέρας ἴσως ἐπιρρίπτων, ταῖς ἐκρίσεσι τῶν οὖρων καὶ ἀφοδευμάτων εἶα συγκατακεῖσθαι· καὶ τῷ λιμῷ καὶ τῷ δίψει προσταλαιπωρεῖν. Οἶδα παθαινομένους ὑμᾶς καὶ δακρύοντας, πρὸς μόνην τὴν τῶν δεινῶν ἀκοήν· ἀλλ' οὐχ οὕτως ὁ γενναῖος ἀθλητὴς καὶ ἀληθινὸς νικητὴς Νικήτας· ἀλλὰ διὰ τὴν εἰκόνα τοῦ Χριστοῦ καὶ τῶν θεραπόντων αὐτοῦ, πάντα μετὰ χαρᾶς ἔστεγε· κἂν καὶ ὁ γραμματικὸς Ἰωάννης τῇ λύπῃ αὐτὸν ἐπειρᾶτο καταποντῶσαι, διὰ τῆς ἐπαγωγῆς τῶν δεινοτέρων καὶ πλειόνων κακουχιῶν ἃς ἐπῆγε τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ μαθητῇ, καὶ παρεσκεύαζε πρός τινα ὀκλοῦσθαι τῷ Διδασκάλῳ κατὰ λεπτὸν διὰ τὸ ὀδυνᾶσθαι.

Τί τὸ μετὰ ταῦτα ; ἰδὼν ὁ τιμωρὸς τῶν ἁγίων ὅτι οὐδένα τούτων καταπειθῆ ἐπισπᾶται, καὶ ὡς μᾶλλον τῶν ἄλλων Νικήτας ὁ τοῦ Μηδικίου μὴ δ' ἀπόκρισιν αὐτῷ δίδωσιν, ἑτέραν τρέπεται τὴν ὕπουλον καὶ θωπευτικήν, καὶ πρὸς τοὺς ἐν ἑτέραις ἐγκεκλεισμένους ἀπιὼν ἔλεγεν· σύγγνωτε Πατέρες, καὶ μὴ αἰτιᾶσθε τὸν ἀναίτιον, ὅτι πρόσταγμα βασιλικὸν ἐκπληρῶ· καὶ εἰ πειραθῶ ἀντιπράττειν, τὴν κεφαλὴν ἀφαιρεθήσομαι· καὶ ἰδοὺ εἰ συμβούλῳ χρῆσθέ μοι, ἓν καὶ τοῦτο μόνον θελήσατε δι' οἰκονομίαν διαπράξασθαι· τὸ συγκοινωνῆσαι ἅπαξ Θεοδότῳ καθὼς αἱρεῖσθε, καὶ ἔσεσθε ἐκτὸς τιμωριῶν ταῖς Μοναῖς ὑμῶν ἀποδιδόμενοι χαίροντες· ἤκουσαν οἱ Πατέρες καὶ ὑπεῖξαν οὐκ οἶδ' ὅπως τοῖς λεγομένοις, εἴτε ταῖς κακουχίαις ἀπαναρκήσαντες καὶ φιλοψυχήσαντες, ὅπερ οὐκ οἶμαι· εἴτε τι σοφώτερον οἰκονομοῦντες, ᾧ καὶ μάλα συγκατατίθεμαι· γενναιοτέρους γὰρ αὐτοὺς μετὰ ταῦτα ὠνείδισας δι' ἐπιστολιμαίου αὐτοῦ λόγου ὁ θερμότατος ἐν ὁμολογηταῖς Θεόδωρος ὁ στουδίτης ἐώρακε πρὸς ἀντιπαράταξιν τοῦ δυσσεβοῦς.

Τέως γοῦν συγκαταθέμενοι, ἐξίασι, καὶ πρὸς τὸν Ὅσιον ἔτι καθειργμένον ἀπίασι, καὶ τὰ οἰκονομούμενα διατί ἐξηγοῦνται, καὶ παρακαλοῦσι διὰ συγκατάβασιν οἰκονομικὴν ἐξελθεῖν καὶ συγκοινωνῆσαι ἅπαξ μετὰ δικαίου τοῦ ἐπιφωνήματος· καὶ πείθουσιν οὐχ ὡς πρὸς τὰς διὰ Θεὸν κακουχίας ὀκλάσαντα, πῶς γὰρ καὶ ἔπεισαν, τὸν δι' ὅλης αὐτοῦ τῆς ζωῆς ὀρεγόμενον ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ πάσχειν; ναὶ μὴν καὶ καθ' ἡμέραν ἀποθνήσκειν· ἀλλὰ διὰ τὸ θελῆσαι συνταπεινωθῆναι τοῖς ταπεινουμένοις καὶ μὴ ὑπερφρονῆσαι. Καὶ λοιπὸν ἐξέρχεται ὁ πρᾷος καὶ ἄκακος πλὴν μετὰ ζήλου· καὶ συνάνεισι τοῖς πατράσι πρὸς Θεόδοτον, καὶ τῆς ἱερουργίας τελουμένης, καὶ τῶν ἁγίων προτιθεμένων, οὐκ ἄλλως εἶα μετέχειν τῶν ἁγιασμάτων, εἰμὴ ἕκαστος ἐπιλέγει συλλέγοντα ἔχων καὶ τὸν Θεόδοτον τό, τοῖς μὴ προσκυνοῦσι τὴν εἰκόνα τοῦ Χριστοῦ ἀνάθεμα. Τούτων οὕτως διαπραχθέντων, ἀπολύονται τῶν εἱρκτῶν καὶ πρὸς τὴν ἰδίαν ἕκαστος μονὴν παλινοστεῖ· ἀλλ' οὐχ ὁ καὶ τὴν νίκην τελείαν συστησάμενος μετὰ τὴν δόξασαν ἥτταν, Νικήτας εἰς τὴν ἰδίαν ἄπεισιν, ἀλλ' εἰσελθὼν εἴς τι πλοιάριον προσχήματι μὲν φυγῆς καὶ ἀναχωρήσεως τοῦ κατὰ μόνας κλαῦσαι, καὶ τὸ θεῖον ἐξιλεώσασθαι δι' ἣν πεπόνθεσαν οἱ Πατέρες τροπήν, πρὸς νῆσον ἐρήμην οἰκητόρων ἐώκει ἀποπλέειν· ἡνίκα δὲ πᾶσι συνταξάμενος τοῖς μεθ' ἑτέρων ἀκατίοις συμπλέουσι, πόρω τῶν ὀφθαλμῶν αὐτῶν γέγονεν, τότε τὰ ἱστία στρέψας πρὸς τὴν βασιλεύουσαν ἔμπαλιν ὑποστρέφει καὶ εἴσεισι, καὶ τοῖς ἐχθροῖς ἐμφανίζεται· καὶ ὁ δοκῶν φυγὰς στρατηγὸς καὶ νῶτα δούς, εὐεπιστρόφῳ κινήματι τὰ στέρνα παρεμφαίνει, καὶ πρῶτος τὸ δόρυ ἀγκαλισάμενος, κάτεισιν ἐν μέσῳ συστήματος ἐχθρῶν, καὶ διατμήξας τὰς τοσαύτας φάλαγγας κατὰ τοῦ κρατοῦντος αὐτοῦ φέρεται, καὶ κατὰ τῶν στέρνων αὐτοῦ ὅλην τὴν λόγχην ἐμπήγνυσι, καὶ τοῖς ἡττηθεῖσι στρατιώταις διὰ τῆς μονομαχίας τὴν προθυμίαν καὶ τὸ θάρσος χαρισάμενος, τέλειον τὸ τρόπαιον ἵστησιν, καὶ τὰ βραβεῖα τῆς νίκης ἀναιμωτὶ κομίζεται παρὰ τοῦ δικαίως ἀποδιδόντος Θεοῦ.

Ἐπειδὴ γὰρ παρέστη τῷ τυράννῳ Λέοντι καὶ ἤκουσε, τίνος ἕνεκεν, πάντων τῶν ἄλλων ὑπειξάντων βασιλικῷ προστάγματι, καὶ ἐν ταῖς ἰδίαις Μοναῖς ἀνενοχλήτως ἐγκαθημένων, αὐτὸς μόνος αὐθαδιαζόμενος ἐνταυθοῖ διάγεις; ταράσσων τοὺς ἁπλουστέρους καὶ διδάσκων ἀθέμιτα; ἴσθι τοιγαροῦν ὡς εἰμὴ τάχιον καὶ αὐτὸς πεισθείς μοι, ἀπελεύσει πρὸς τὴν ἰδίαν, κακηγκάκως ἀπορρήξεις τοῦ ζῆν, τιμωρίαις ἀνυποίστοις καθυποβαλλόμενος· ὁ δὲ ἀπτοήτῳ ψυχῆς παραστήματι τρανῶς ἀνεκήρυξε λέγων· ἴσθι, καὶ σὺ Βασιλεῦ ἀρνησίθεε, ὅτι τοῖς προτέροις ἐμμένω λογισμοῖς, καὶ τὴν εἰκόνα Χριστοῦ καὶ τῶν Ἁγίων σέβομαι καὶ τῷ σῷ θελήματι οὐχ ὑπείκω· τοῖς μετα σοῦ οὐ συγκοινωνῶ· κἂν δι' ὑπακοὴν Πατέρων μικρὸν συνεθέμην, πλὴν μετὰ ὁμολογίας καὶ συμφωνίας τῆς προσηκούσης· ἀλλὰ καὶ σὲ τὴν προσκύνησιν ἀθετοῦντα τῶν Ἁγίων Εἰκόνων καὶ τοὺς ὁμοφρονοῦντάς σοι, ἀναθεματίζω· ποίει τὸ λοιπὸν ὃ βούλει.

Οὕτως ὁμολογήσας ὁ ὅσιος καὶ αἰσχύνης καὶ θυμοῦ πληρώσας τὸν Τύραννον, Ζαχαρίᾳ τινὶ διοικητῇ ὄντι τότε τῶν ἐν μαγγάνοις εἰς παραφυλακὴν καὶ κακοποίησιν ἐκδίδοται· ὁ δὲ παραλαβὼν αὐτόν, οὐδὲν τὸ λυποῦν ἐπεδείξατο, εὐσεβὴς ὢν καὶ ἡμερώτατος καὶ τὸ συμπαθὲς συμφυὲς ἔχων· ἀλλ' οὔτε κα-

καθεῖρξε· δι' αἰδοῦς δὲ μᾶλλον τὸν Ἅγιον ἐποιεῖτο, καὶ ἐπιμελείας πάσης ἠξίου, ἀλλ' οὐ βραδέως ἔτυχεν ὁ θαυμαστὸς Ζαχαρίας τῆς ἀνταμοιβῆς· ῥύεται δὲ μετὰ καιρὸν εἰς τὰ Θρακῶα μέρη παρὰ τοῦ Βασιλέως σταλείς, πρὸς τινων δημοσίων πραγμάτων διοίκησιν, δι' εὐχῆς τοῦ ἁγίου ἐξορίστου ἐν νήσῳ καθειργμένου καὶ τὴν συμφορὰν ἀναμαθόντος, ἐκ βαρβαρικῶν χειρῶν ὑφ' ὧν αἰχμάλωτος ἦγετο· οὕτω γοῦν ὡς εἴπομεν παρὰ τοῦ Ζαχαρίου φυλαττόμενον τὸν Ὅσιον, ὁ τύραννος οὐκ ἠνέσχετο εἰμὴ δεινοτέροις καθυποβάλῃ κακοῖς. Καὶ παραυτίκα μετὰ γραμμάτων ἐκπέμπει τὸν ἀθλητὴν πρὸς Ἄνθιμον τὸν τότε προβεβλημένον ἔξαρχον τῶν ἐν τῷ πρὸς Νικομήδειαν ἀπάγοντι κόλπῳ μοναστηρίων, ἄνδρα, ἡμίανδρον· ἐκτετμημένον τὰ παιδαγόνα μόρια καὶ σὺν αὐτοῖς τὴν φρένα, ἰταμόν τινα καὶ ἀπάνθρωπον, μοχθηρίας σύντροφον, ὃν καὶ Καϊάφαν ἐπωνόμαζον, διὰ τὸ ἀπηνὲς καὶ διάστροφον· καὶ διὰ ταῦτα, πρὸς τοῦ τυράννου ἐκεῖσε ἀποσταλμένον εἰς κακοποιΐαν τῶν μοναχῶν. Ὃς παραλαβὼν τὸν Ὅσιον καί εἰσενέγκας εἰς νῆσον ἐν ᾗ τιμᾶται ἡ ὁσία Γλυκερία, κἀκεῖσε ἐν στενοτάτῃ περικλείσας φυλακῇ, τὰς κλεῖς αὐτὸς διόλου κατέχων, ἐν ἓξ ὅλοις ἔτεσιν, ἀπρόϊτον εἴασε· λιμῷ κατατρύχων, δίψει ἐκπιέζων, δυσωδίαις ἀποπνίγων, ὀνειδισμοῖς ἐκτήκων, τῇ τῆς κοίτης αὐχμηρίᾳ τὸ πλεῖον τοῦ σώματος ἐκκόπτων, πάντα ποιῶν, ὥστε μεταπεῖσαι συνθέσθαι τῷ τοῦ Βασιλέως θελήματι, ἀλλὰ μάτην ἐώκει κράζειν ἐκεῖνος ὁ σαρκοβόρος κόραξ.

Θεὸς γὰρ ἐπιβλέψας εἰς τὴν τοσαύτην ὑπομονὴν τοῦ δούλου αὐτοῦ, τὸν μὲν δυσσεβῆ Βασιλέα ἐκ μέσου αἴρει, παραχωρήσας μαχαίραις διακοπῆναι τὸν ἄθλιον, ὑπό τινων νεωτερισάντων, ἔσωθέν τοῦ ἐν τοῖς βασιλείοις εὐκτηρίου, ἀνεγείρας δὲ ἕτερον ὃν εἶχεν ἐκεῖνος σιδηροπέδητον, δι' ὑποψίαν ἐπιβουλῆς Μιχαὴλ τοὔνομα. τὴν ἐλευθερίαν καὶ ἄνεσιν τοῖς Πατρᾶσι δι' αὐτοῦ ἐχαρίσατο, καίτοι μὴ τελείως τὴν πίστιν κρατύναντος· μεθ' ὧν καὶ ὁ τῶν πρώην ὁμολογητῶν παῖς πατρόμοιος καὶ πατὴρ πατέρων καὶ ὁμολογητὴς καὶ μάρτυς χωρὶς αἵματος Νικήτας, ἀπελύθη· καὶ μετὰ ταῦτα χρόνους τινὰς ἡσύχως διαβιώσας ἔν τινι Μετοχίῳ, κειμένῳ κατὰ βόρειον μέρος τῆς βασιλευούσης· καὶ πλείοσι θαύμασι διαλάμψας, ὁσίως ὁ Ὅσιος τῶν τῇδε ἀπαίρειν· καὶ πρὸς τὰς οὐρανίους σκηνὰς μετακομίζεται, καὶ τῇ προσκυνητῇ Τριάδι παρίσταται. παρ' ἧς καὶ στεφανοῦται καὶ τὰ βραβεῖα τῆς νίκης ἄφθαρτα κομίζεται· πρεσβεύων ὑπὲρ ἡμῶν ἀπαύστως μετὰ παρρησίας, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ πρέπει δόξα τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

***Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν ΙΩΣΗΦ τοῦ ὑμνογράφου.***

»Ζῶντος Θεοῦ σὺ θεῖος ὑμνητής, πάτερ,
»Ἐγὼ δέ, σοῦ θανόντος, ὑμνητὴς νέος.

**Οὗτος ὁ ὅσιος Ἰωσὴφ ἤκμαζε κατὰ τοὺς χρόνους Θεοφίλου τοῦ εἰκονομάχου, ἐν ἔτει ωλβ'. (832), κατήγετο δὲ ἀπὸ τὴν νῆσον τῆς**

Σικελίας, υἱὸς ὑπάρχων γονέων Πλωτίνου καὶ Ἀγάθης ὀνομαζομένων. Ἦτο δὲ εὐσεβὴς καὶ πρᾶος κατὰ τὴν γνώμην, καὶ κατεγίνετο εἰς τὴν μελέτην τῶν θείων Γραφῶν. Ὅτε δὲ ἐκυριεύθη ἡ Σικελία ἀπὸ τοὺς Ἀγαρηνούς, ὑπῆγεν ὁ ὅσιος εἰς τὴν Πελοπόννησον μετὰ τῆς μητρὸς καὶ ἀδελφῆς του, καὶ ἀπὸ ἐκεῖ ὑπῆγεν εἰς τὴν Θεσσαλονίκην, ὅπου καὶ ἔγεινε μοναχός, καὶ ἐμβῆκεν εἰς τοὺς πνευματικοὺς ἀγῶνας τῆς ἀσκήσεως. Καὶ κλίνην μὲν εἶχε τὴν γῆν ἐστρωμένην μὲ ἓν δέρμα, τὰ δὲ φορέματά του ἦσαν εὐτελῆ, ἡ τροφή του ἦτο ὀλίγον ψωμίον καὶ τὸ ποτόν του ἦτό τὸ ἁπλοῦν νερόν· μετεχειρίζετο ἀγρυπνίαν καὶ στάσιμον ὁλονύκτιον· ἔκλινε συνεχῶς τὰ γόνατά του εἰς προσευχήν· εἶχεν εἰς τὸ στόμα του ὕμνους συχνοὺς εἰς Θεόν, ἐποίει ἐργόχειρον τὴν καλλιγραφίαν, καὶ ἔκαμνεν ἀνάγνωσιν εἰς τὰς θείας Γραφάς Ἐκ τούτων δὲ καὶ τῶν τοιούτων κόπων ἔγεινεν ὁ ἀοίδιμος πρᾶος, σεμνός, μέτριος, ἁπλοῦς, ἄκακος, καὶ εἶχεν ὅλας τὰς ἄλλας ἀρετάς, ὅσαι εἶναι εἰς τὰς ἄνω εἰρημένας ἀκόλουθοι. Ὅθεν διὰ τὰς ἀρετάς του ταύτας ἐχειροτονήθη ἱερεύς· δὲν παρῆλθε δὲ πολὺς καιρός, καὶ εὑρὼν τὸν ἅγιον Γρηγόριον τὸν Δεκαπολίτην, ἄνδρα ἅγιον καὶ ἐλλόγιμον, ὑπῆγε μετ' αὐτοῦ εἰς τὴν Κωνσταντινούπολιν, καὶ ὁμοῦ μὲ ἐκεῖνον ἐκλείσθη εἰς τὸν ναὸν τοῦ ἁγίου ἱερομάρτυρος Ἀντίπα, ἀγωνιζόμενος μὲ σκληραγωγίας καὶ ἄλλας κακουχίας τοῦ σώματος. Ἐπειδὴ δὲ ἐβλάστησεν ἡ χριστομάχος αἵρεσις τῶν εἰκονομάχων, ἀνεχώρησεν εἰς τὴν Ρώμην ὁ μακάριος οὗτος, παρακινηθεὶς ἀπό τινας εὐσεβεῖς. Εἰς τὸν δρόμον δὲ συλληφθεὶς αἰχμάλωτος ὑπὸ πειρατικῶν πλοίων Κρητικῶν, ἀπήχθη ὑπ' αὐτῶν εἰς Κρήτην, καὶ ἐβλήθη εἰς τὴν φυλακήν.

Ἐκεῖ δὲ εὑρισκόμενος ὁ ἅγιος ἐδίδασκε πάντοτε τοὺς εἰς αὐτὸν ἐρχομένους τὴν ὁδὸν τῆς σωτηρίας καὶ ἀρετῆς καὶ μὲ τὰ ψυχωφελῆ λόγιά του πολλοὺς ἐλύτρωσεν ἀπὸ τὰς χεῖρας τοῦ διαβόλου Ἐκεῖ δὲ ἐφάνη εἰς αὐτὸν ἱεροπρεπής τις καὶ σεβάσμιος ἀνήρ, ὅστις ἦτο ὁ μέγας Νικόλαος, καὶ εἶπεν αὐτῷ· ἐγὼ εἶμαι ἀπὸ τὰ Μύρα τῆς Λυκίας, καὶ ἦλθον πρὸς σέ, ὅθεν λάβε τὴν κεφαλίδα, ἤτοι τὸ χαρτίον τοῦτο, τὸ ὁποῖον σοὶ δίδω. Ὁ δὲ ἅγιος λαβὼν αὐτήν, ἐν τῷ ἅμα ἀνεγίνωσκε τὸ χαρτίον, καὶ ἔψαλλεν ἐνταυτῷ λέγων «τάχυνον ὁ οἰκτίρμων καὶ σπεῦσον ὡς ἐλεήμων εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύ»νασαι βουλόμενος». Τὸ δὲ νόημα τοῦ ᾄσματος τούτου, ὦ τοῦ θαύ»ματος! εὐθὺς τῷ πρωῒ ἔργον ἐγένετο, διότι ἀφ' οὗ ὁ τῆς εἰκονομαχίας ἀρχηγὸς Θεόφιλος ἀπέθανεν, ἔλαβε πάλιν ἡ τοῦ Χριστοῦ Ἐκκλησία τὸν στολισμὸν καὶ τὴν εὐπρέπειαν τῶν σεπτῶν καὶ ἁγίων εἰκόνων. Ὅθεν τότε καὶ ὁ ὅσιος οὗτος Ἰωσὴφ ἐλευθερωθεὶς ἀπὸ τὴν ἐν Κρήτῃ φυλακήν, ἀνέβη εἰς τὴν Κωνσταντινούπολιν· ἐπειδὴ δὲ

ὁ ἅγιος ἔλαβεν ἀπὸ ἕνα χριστιανὸν μέρος τι ἀπὸ τὸ τίμιον λείψανον τοῦ μεγάλου Ἀποστόλου Βαρθολομαίου, ἔκτισε ναὸν εἰς τὸ ὄνομα τοῦ Ἀποστόλου ὁμοῦ μὲ τὸν ἅγιον Γρηγόριον τὸν Δεκαπολίτην· διὰ τοῦτο εὑρίσκετο εἰς φροντίδα καὶ ἔννοιαν περισσοτέραν, διὰ νὰ τιμήσῃ τὴν πανήγυριν τοῦ Ἀποστόλου μὲ ἱερὰ ἄσματα καὶ τροπάρια. Ὅθεν παρεκάλει μὲ δάκρυα καὶ ἀναστεναγμοὺς τὸν τοῦ Κυρίου Ἀπόστολον νὰ τῷ χαρίσῃ τὸ χάρισμα τῆς τούτων συνθέσεως, διὸ καὶ τοῦ ποθουμένου ἐπέτυχεν, ἰδὼν κατ' ὀπτασίαν ἕνα φοβερὸν ἄνδρα μὲ σχῆμα ἀποστολικόν, ὁ ὁποῖος ἔλαβε τὸ ἅγιον Εὐαγγέλιον ἀπὸ τὴν ἱερὰν τράπεζαν, καὶ ἔβαλεν αὐτὸ ἐπὶ τοῦ στήθους τοῦ ὁσίου, καὶ ἔπειτα τὸν εὐλόγησε. Τοῦτο δὲ ἦτο ἀρχὴ τοῦ θείου χαρίσματος, ὅπερ ἐπεθύμει, διότι ἔκτοτε τόσον εὐκόλως καὶ χωρὶς κόπον ἐσύνθετε τὰς ἱερὰς μελῳδίας καὶ τοὺς ἁσματικοὺς κανόνας καὶ τὰ τροπάρια, καὶ ἔδιδεν αὐτὰ εἰς ὅσους τὰ ἐζήτουν, ὥστε τινὲς ἐνόμιζον ὅτι δὲν τὰ ἐσύνθετεν ἀφ' ἑαυτοῦ, ἀλλὰ τὰ ἔπερνεν ἀπὸ ἄλλους, καὶ ἐκεῖθεν μανθάνων αὐτὰ καὶ ἀποστηθίζων, τὰ ἀντέγραφε καὶ τὰ ἔδιδεν εἰς τοὺς ζητοῦντας. Δὲν εἶχεν ὅμως οὕτως ἡ ὑπόθεσις, καθὼς ἐκεῖνοι ἐνόμιζον ἀπατώμενοι· ἀλλὰ τὰ ἄσματα ταῦτα ἐπρόφερεν ὁ ὅσιος ἐκ θείου χαρίσματος, διὰ τοῦτο καὶ ἀπὸ τὰ στόματα ὅλων ἐφημίζετο καὶ εἰς ὅλους ἦτο ποθεινὸς καὶ ἐπέραστος, ὄχι μόνον εἰς ἰδιώτας καὶ ἄρχοντας, ἀλλὰ ἀκόμη καὶ εἰς τοὺς τότε βασιλεῖς. Ἂν καὶ ἐξωρίσθη ἀπὸ Βάρδαν τὸν Καίσαρα, τὸν θεῖον τοῦ βασιλέως Μιχαὴλ ἐν ἔτει ωξζ'. (867), ἐπειδὴ ἤλεγξεν αὐτὸν ὁ ἅγιος· (1) ἀλλ' εὐθὺς πάλιν ἀνεκλήθη ἀπὸ τὴν ἐξορίαν καὶ ἔγεινε σκευοφύλαξ τῶν ἱερῶν σκευῶν τῆς Ἐκκλησίας, ἐπὶ τῆς πατριαρχείας τοῦ θείου Ἰγνατίου. (2)

Ἀφ' οὗ δὲ ἅγιος Ἰγνάτιος ἀπέθανεν, ἠγάπα τὸν ὅσιον τοῦτον καὶ ἐπῄνει ὁ σοφὸς Φώτιος, ὁ ὁποῖος ἔγεινε Πατριάρχης μετὰ τὸν Ἰγνάτιον (3). Ἐπειδὴ δὲ ἠγωνίζετο ὁ ἀοίδιμος διὰ τὴν ὀρθοδοξίαν, ἐξωρίσθη εἰς τὴν Χερσῶνα, τὴν πλησιάζουσαν εἰς τὴν Κριμαίαν. Μετὰ δὲ τὸν θάνατον τοῦ Βάρδα, ἠλευθερώθη ὁ ἅγιος ἀπὸ τὴν ἐξο-

(1) Ἴσως ἤλεγξεν αὐτὸν ὁ ἅγιος, διότι ὁ Βάρδας ἄφησε τὴν γυναῖκά του, καὶ συνεφθείρετο μὲ τὴν νύμφην του, καθὼς διὰ τοῦτο ἤλεγχεν αὐτὸν καὶ ὁ πατριάρχης Ἰγνάτιος. Ὅθεν καὶ κατέβασεν αὐτὸν ἀπὸ τὸν θρόνον.

(2) Ὁ θεῖος Ἰγνάτιος ἑορτάζεται ὡς ἅγιος κατὰ τὴν εἰκοστὴν τρίτην τοῦ Ὀκτωβρίου.

(3) Ὁμοίως καὶ ὁ Φώτιος, ὡς ἅγιος ἑορτάζεται, κατὰ τὴν ἕκτην Φεβρουαρίου.

ρίαν παρὰ τῆς Βασιλίσσης Θεοδώρας, ἡ ὁποία ἐποίησε τὴν ὀρθοδοξίαν καὶ ἀναστήλωσιν τῶν ἁγίων εἰκόνων ἐν ἔτει 842.

Ὅθεν ζήσας μετὰ ταῦτα καὶ πολλοὺς ἁγίους ἐγκωμιάσας μὲ διαφόρους κανόνας καὶ τροπάρια, ἀπῆλθε πρὸς Κύριον, καὶ ἐνεταφιάσθη τὸ τίμιον αὐτοῦ λείψανον εἰς τὸ μοναστήριον ἐκεῖνο, ὅπου καὶ τώρα εὑρίσκεται. Ὁ δὲ Θεός, θέλων νὰ δείξῃ εἰς τοὺς ἀνθρώπους ὁπόσην τιμὴν ὁ ἅγιος οὗτος Ἰωσὴφ ἔλαβε μετὰ θάνατον, τοιοῦτον τι ᾠκονόμησε· καθ' ὃν καιρὸν ἐκοιμήθη ὁ ἅγιος, ἄνθρωπός τις ἔχων δοῦλον χρήσιμον ἔχασεν αὐτόν. Ὅθεν ὑπῆγεν εἰς τὸν ναὸν Θεοδώρου τοῦ Τίρωνος τοῦ ἐπονομαζομένου Φανερωτοῦ, καὶ παρεκάλει τὸν μάρτυρα νὰ τῷ φανερώσῃ, ποῦ εἶναι ὁ δοῦλός του. Προσμείνας δὲ εἰς τὸν ναὸν τρία ἡμερονύκτια, καὶ μηδὲν μαθὼν διὰ τὸν δοῦλόν του, ἐλυπεῖτο καὶ ἐμελέτα νὰ ἀναχωρήσῃ. Ἐνῷ δὲ ἐψάλλετο ὁ ὄρθρος καὶ ἀνεγινώσκετο εἰς τὴν Ἐκκλησίαν λόγος τις ψυχωφελής, ἐκοιμήθη ὁ ἄνθρωπος ἐκεῖνος, καὶ ἰδοὺ βλέπει εἰς τὸ ὄνειρόν του τὸν μάρτυρα, ὁ ὁποῖος τῷ ἔλεγε· «Διὰ τί λυπεῖσαι, ὦ ἄνθρωπε; ἤξευρε, ὅτι ὁ ποιητὴς Ἰωσὴφ ἐκοιμήθη τὴν νύκτα ταύτην, καὶ ἔγεινεν ὀψίκιον· ἤτοι προϋπάντησις καὶ ὑποδοχὴ εἰς αὐτὸν ἀπὸ ὅλους ἡμᾶς τοὺς ἁγίους, διότι ἐτίμησεν ἡμᾶς μὲ κανόνας καὶ τροπάρια ἐγκωμιαστικὰ ἡ ἁγία ἐκείνου ψυχή. Ὅθεν δὲν ἤμην ἐδῶ, ἀλλὰ τώρα ἦλθον, ὕπαγε λοιπὸν εἰς τὸν δεῖνα τόπον, καὶ θὰ εὕρῃς τὸν δοῦλον τὸν ὁποῖον ζητεῖς. (1)

(1) Ἄριστος καὶ πολυγραφώτατος μελῳδὸς τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἐστάθη ὁ θεῖος οὗτος Ἰωσὴφ ὁ ὑμνογράφος· διότι ἐκτὸς ὀλίγων ἀσματικῶν Κανόνων, τοὺς ὁποίους ἐσύνθεσαν οἱ ἄλλοι ποιηταί, οἵτινες ἐν τοῖς Μηναίοις περιέχονται, ὅλους τοὺς ἄλλους ἐσύνθεσεν ὁ μελῳδὸς τοῦ ἁγίου τούτου κάλαμος, οἵτινες τετυπωμένοι εἰσὶν ἐν τοῖς Μηναίοις, τὸ ἑαυτοῦ ὄνομα ἐν τῇ ἐννάτῃ ᾠδῇ ἐπιφέροντες κατὰ τὴν ἀκροστιχίδα. Δὲν ἠρκέσθη δὲ ὁ ἱερὸς οὗτος γραμματεὺς μέχρι τούτου· ἀλλὰ καὶ ὀκτωήχους Κανόνας ἐσύνθεσεν εἰς τὴν Θεοτόκον, εἰς τὸν μέγαν Νικόλαον, εἰς τὸν Θεολόγον Ἰωάννην, εἰς τὸν Ἀρχάγγελον Μιχαήλ, εἰς τὸν ἅγιον Στέφανον τὸν πρωτομάρτυρα, εἰς τὸν ἅγιον Γεώργιον, εἰς τὸν ἅγιον Παντελεήμονα, καὶ εἰς πολλοὺς ἄλλους ἁγίους, οἵτινες καὶ σώζονται ἐν τῷ ἁγίῳ Ὄρει χειρόγραφοι καὶ ἀνέκδοτοι. Ἀλλὰ καὶ ἡ καθ' ἑκάστην ἡμέραν ἐν τῇ Ἐκκλησίᾳ ψαλλομένη ὀκτώηχος κατανυκτική, ἥτις κοινῶς ὀνομάζεται Παρακλητική, ἢ διότι παρηγορεῖ τὰς ψυχὰς τῶν ἀναγινωσκόντων, ἢ διότι παρακινεῖ τοὺς ἁμαρτωλοὺς εἰς μετάνοιαν, αὕτη λέγω, τούτου τοῦ θείου ἀνδρός ἐστι πόνημα, πλὴν μόνον τῶν κατὰ πᾶν Σάββατον ἐν τοῖς ἀποστίχοις κειμένων τροπαρίων τῶν περὶ κεκοιμημένων διαλαμβανόντων, τὰ ὁποῖα εἶναι πόνημα τοῦ ἁγίου Θεοφάνους τοῦ Μελῳδοῦ καὶ Γραπτοῦ. Τούτου τοῦ ἁγίου Ἰωσὴφ τὴν ἀκολουθίαν, τύποις

*Ὁ ἅγιος μάρτυς ΕΛΠΙΔΗΦΟΡΟΣ ξίφει τελειοῦται.*

»Ξίφους ἀληθὴς μάρτυς Ἐλπιδηφόρος,
»Θεὸν φέρει ἄψευστον εὐελπιστίαν.

*Ὁ ἅγιος μάρτυς ΔΙΟΣ κεράμῳ τὴν κεφαλὴν βληθεὶς τελειοῦται.*

»Βαλὼν κεράμῳ δυσσεβὴς Δίου κάραν,
»Ὡς σκεῦος αὐτὴν συντρίβει κεραμέως.

*Ὁ ἅγιος μάρτυς ΒΥΘΟΝΙΟΣ ἐν θαλάσσῃ ριφθεὶς τελειοῦται.*

»Ὁ Βυθόνιος εἰς βυθὸν βεβλημένος,
»Τὴν κλῆσιν εὗρεν εἰς προφητείαν τέλους.

*Ὁ ἅγιος μάρτυς ΓΑΛΥΚΟΣ ὑπὸ θηρίων δηχθεὶς τελειοῦται.*

»Δηχθεὶς ὀδοῦσι Γάλυκος τῶν θηρίων,
»Θηρὸς νοητοῦ τοὺς ὀδόντας συντρίβει.

*Ὁ ὅσιος πατὴρ ἡμῶν ΙΛΛΥΡΙΟΣ, ὁ ἐν τῷ ὄρει τοῦ Μυρσινῶνος, ἐν εἰρήνῃ τελειοῦται.*

»Ἐκ Μυρσινῶνος Ἰλλυριέ, πρὸς πόλον,
»Οὐχ ὡς ὁ Χριστὸς ἐξ ἐλαιῶνος, φέρῃ.

*Ὁ ἅγιος νεομάρτυς ΠΑΥΛΟΣ Ρῶσσος ὁ ἀπελεύθερος, ὁ ἐν Κωνσταντινουπόλει μαρτυρήσας ἐν ἔτει ᾳχπγ'.* (1683), *ξίφει τελειοῦται τῇ Μεγάλῃ Παρασκευῇ.*

»Πρὸς Παῦλον ἔσχε κοινὰ κλῆσιν καὶ ξίφος,
»Παῦλος νέαθλος οὗτος, ὃς Ρῶσσος πέλει.

Ὁ μακάριος οὗτος Παῦλος, ἦτον Ρῶσσος κατὰ τὸ γένος, ἠχμαλωτίσθη δὲ μικρὸν παιδίον ἀπὸ τοὺς Τατάρους ἐκ τῆς πατρίδος του, καὶ τὸν ἠγόρασεν ὕστερον ἀπὸ αὐτοὺς εἰς Χριστιανός, καὶ τὸν ἐδούλευσε χρόνους ἱκανούς, δι' ὃ καὶ τὸν ἠλευθέρωσε, καὶ ἐπῆρε γυναῖκα καὶ αὐτὴν οὖσαν ἐκ τῆς Ρωσσίας πρώην αἰχμάλωτον, μὲ τὴν ὁποίαν ἔζη εὐσεβῶς· συνέβη δὲ αὐτῷ ἐπιληψία νοός, εἴτε ὑπὸ φυσικοῦ πάθους, εἴτε καὶ δαίμονος συνεργείᾳ, (καθὼς πολλάκις συμβαίνει) καὶ χρονίζοντος τοῦ πάθους, καὶ παραφρονοῦτος αὐτοῦ δσημέραι ἐσυμβουλεύθηκαν ἥ τε σύζυγος αὐτοῦ καὶ οἱ γείτονές του, νὰ τὸν ὑπάγουν εἰς τὸν ναὸν τῆς ὑπεραγίας Θεοτόκου, τὴν ἐπονομαζομένην τοῦ Μουγλουνίου, χάριν ἰάσεως τῆς φρενοβλαβείας ἐκείνης, ὅτι καὶ ἄλλοι πολλοὶ τοιοῦτοι, ἐν τῷ ναῷ τῆς Θεομήτορος κείμενοι

οὖσαν ἐκδιδομένην ἐλλιπῶς, ἀνεπλήρωσεν Νικόδημος ὁ Ἁγιορείτης. Σημείωσαι, ὅτι τὸν βίον τοῦ ἁγίου τούτου Ἰωσὴφ συνέγραψεν ὁ διάκονος Ἰωάννης, καὶ ὅρα σελ. 274 τοῦ 6'. τόμου τοῦ Μελετίου.

εὗρον τὴν τῶν φρενῶν σωτηρίαν· ἐπειδὴ δὲ ὁ μακάριος δὲν ἠσθάνετο τὴν αἰτίαν, διὰ τὴν ὁποίαν τὸν ἐπήγαιναν ἐκεῖ, ἐναντιοῦτο μεγάλως, καὶ δὲν ἤθελε νὰ ὑπάγῃ· ὅθεν τὸν ἐσήκωσαν βαστακτόν, καὶ τὸν ἐπήγαιναν· ἐν τῇ ὁδῷ ἀπήντησαν τινὰς ἀγαρηνούς, οἵτινες τοὺς ἠρώτησαν ποῦ ὑπάγουν ; αὐτὸς δὲ σεσαλευμένος ὢν τὸν νοῦν, ὡς τοὺς εἶδε, τοῦ ἐφάνη νὰ ζητήσῃ βοήθειαν ἀπὸ αὐτούς, ὅθεν ἄρχισε νὰ φωνάζῃ : ἀγαρηνὸς εἶμαι, καὶ ἀγαρηνὸς ἔγινα· οἱ δὲ ἀγαρηνοὶ τότε μὲν δὲν ἐλάλησαν, οὐδὲ ἔκαμαν τίποτε, δι' ὃ καὶ οἱ βαστάζοντες τὸν ἔφερον εἰς τὴν Ἐκκλησίαν τῆς Θεοτόκου· ὕστερον δὲ ἀπὸ δύω ἡμέρας συλλογιζόμενοι οἱ ἐπάρατοι τοὺς λόγους τοῦ μάρτυρος, ἔλεγον μεταξύ των : πῶς ἡμεῖς παρεβλέψαμεν τὸν ἀδελφόν μας μουσουλμάνον ὁποῦ ἔκραζε καὶ ἐζητοῦσε βοήθειαν ἀπὸ ἡμᾶς, ὢν εἰς τὰς χεῖρας τῶν ἐχθρῶν μας ; τοῦτο ὁποῦ ἐκάμαμεν εἶναι ἀπαίσιον εἰς τὴν θρησκείαν μας· μάλιστα δὲ εἷς ἐ ξ αὐτῶν ὁ πλέον ζηλωτὴς τῆς πίστεώς των, παρώξυνε τοὺς ἄλλους τόσον ὁποῦ πρὸς ἀλλήλους οἱ μουσουλμάνοι εἶπον· ἂς ὑπάγωμεν ἀδελφοί, εἰς τὸν Βεζύρην, διὰ νὰ τοῦ ἀναγγείλομεν τὸ γεγονός, ἤγουν, ὅτι ἐδῶ εἰς ταύτην τὴν πόλιν, εἰς τὴν ὁποίαν εἶναι ὅλο τὸ κράτος τῆς πίστεώς μας, τολμοῦν νὰ κάνουν τοιαῦτα οἱ ἄπιστοι χριστιανοί, καὶ ἐκεῖνον ὁποῦ ἔγινε μουσουλμάνος τολμοῦν νὰ τὸν πηγαίνουν εἰς τὴν Ἐκκλησίαν των, (διότι ἤκουσαν πῶς τὸν ἐπῆγαν εἰς τὴν Ἐκκλησίαν) καὶ διὰ νὰ μὴ γένῃ μουσουλμάνος εὑρίσκουν ἀφορμήν, καὶ λέγουν πῶς εἶναι φρενίτης, καὶ παράφρων· ἀπελθόντες λοιπὸν εἰς τὸν Βεζύρην ἔδωκαν ἔγγραφον ἀναφορὰν τῆς ὑποθέσεως· ὁ δὲ Βεζύρης εὐθὺς εἰς ὀργὴν κινηθείς, ἐπρόσταξε τὸν ἀρχιδήμιον, ὅσον τὸ ὀργηγωρότερον νὰ φέρῃ τὸν ἄνθρωπον καθὼς ἦτον, καὶ νὰ δέσῃ καὶ τοὺς ἱερεῖς τῆς Ἐκκλησίας, καὶ ὁποιους ἄλλους ἐκεῖ εὕρῃ χριστιανούς· ἀλλὰ θεία προνοία εἰς καταδότης ἐλπίζων νὰ λάβῃ ἀργύρια, ἔδραμε παρευθύς, καὶ ἀνήγγειλε τὴν προσταγὴν τοῦ Βεζύρη εἰς τοὺς ἱερεῖς, καὶ τοὺς λοιποὺς ἐνορίτας τῆς Ἐκκλησίας, οἵτινες ὅσον τὸ τάχος εὔγαλαν τὸν μάρτυρα ἐκ τῆς Ἐκκλησίας, καὶ εὐθὺς ἔγεινε θαῦμα ἀνέλπιστον εἰς τὸν μάρτυρα· διότι αἴφνης ἐφάνη ὑγιής, ἔχων σῶας τὰς φρένας του· ὅθεν τοῦ παρήγγειλαν νὰ μὴν εἰπῇ τελείως εἰς τὸν Βεζύρην, πῶς ἐπῆγεν εἰς τὴν Ἐκκλησίαν· ἀκόμη δὲν ἐτελείωσαν τὸν λόγον, καὶ ἰδοὺ ἔφθασεν ὁ ἀρχιδήμιος μὲ τὴν αὐτοῦ κουστωδίαν καὶ ἀνηλεῶς αὐτόν τε καὶ τοὺς ἱερεῖς ἔδεσαν, καὶ τοὺς ἔφερον εἰς τὸν Βεζύρην· καὶ τοὺς μὲν ἱερεῖς εὐθὺς ὁ Βεζύρης ἐπρόσταξε νὰ τοὺς βάλουν, ἐν τῇ κατωτάτῃ σκοτεινῇ καὶ δυσώδῃ φυλακῇ· τὸν δὲ μακάριον Παῦλον ἠρώτα ἱλαρῶς, ἀνίσως καὶ ἔγινε μουσουλμάνος.

Ὁ δὲ λαμπρᾷ τῇ φωνῇ, ἀνακέγραγεν, ὅτι τέτοιον ἀνόσιον ἔργον δὲν ἠξεύρει νὰ κάμῃ ποτέ· οἱ δὲ καταδόται ἐκεῖνοι ἐμαρτυροῦσαν καὶ τὴν ἡμέραν ὁποῦ τὸν ἔφερνον, καὶ ἐφώναζε, πῶς εἶναι μουσουλμάνος· ὁ δὲ μάρτυς ἐβόα, «ψεῦσται εἶσθε, καὶ διὰ πάθος ἐπλάσατε ταύτην τὴν συκοφαντίαν»· ὁ δὲ Βεζύρης τοῦ λέγει· «καὶ διὰ ποίαν ἀφορμὴν οἱ χριστιανοὶ σὲ ἐπῆγαν εἰς τὴν Ἐκκλησίαν ; » ὁ δὲ Παῦλος εἶπεν, «ὄχι αὐθέντα εἰς τὴν Ἐκκλησίαν δὲν μὲ ἐπῆγαν ἀλλ' ἐπειδὴ εἶχα πάθος σεληνιασμοῦ, καὶ ἔκαμνα ἀταξίας μὲ ἔφερον εἰς τὴν οἰκίαν μου· διὰ τοῦτο λοιπὸν χριστιανὸς ἤμουν, καὶ εἶμαι, καὶ ἔσομαι»· ὁ δὲ Βεζύρης λέγει αὐτῷ· «σήμερον κατὰ τὴν μαρτυρίαν τῶν μουσουλμάνων τούτων ὅπου μαρτυροῦν, πῶς ἤκουσαν ἐκ τοῦ στόματός σου καὶ εἶπες μουσουλμάνος εἰμί, πρέπει ἢ νὰ ὁμολογήσῃς τὴν τῶν μουσουλμάνων πίστιν, καὶ νὰ γένῃς τοῦρκος, ἢ πάραυτα θέλω σὲ θανατώσω· λοιπὸν συλλογίσου τὸ ὀργηγωρότερον, καὶ ἔκλεξε ἐκ τῶν δύο τὸ ἕν· καὶ ἂν γένῃς τοῦρκος νὰ σὲ πλουτίσω, καὶ νὰ σὲ κάμω μέγαν, εἰδὲ μή, θέλεις λάβῃς θάνατον φοβερόν»· ὄπισθεν δὲ τοῦ μάρτυρος ἵστατο ἡ εὐλογημένη γυνή του (ἥτις τὸν ἠκολούθησεν ἀπὸ τὴν Ἐκκλησίαν ἕως εἰς τὸν Βεζύρην) καὶ τὸν ἐδυνάμονε, λέγουσα εἰς αὐτὸν μὲ τὴν διάλεκτον τῶν Ρώσσων· «μὴ φοβηθῇς ἄνδρα μου, μηδὲ νὰ δειλιάσῃς τὸν θάνατον, ἀλλὰ μεῖνε στερεὸς εἰς τὴν πίστιν τοῦ Χριστοῦ· ἐν μιᾷ ροπῇ ὀφθαλμοῦ εἶναι τὸ ποτήριον τοῦ θανάτου, ὕστερον δὲ ἔχεις νὰ συναγάλλεσαι, καὶ νὰ χαίρεσαι μὲ τοὺς μάρτυρας τοῦ Χριστοῦ, καὶ ἐγὼ ἔχω νὰ λογιζομαι μακαρία, ὡς οὖσα γυνὴ μάρτυρος ; » ἐρωτήσαντος δὲ τοῦ Βεζόρη ποία γυναῖκα εἶναι αὐτή ; καὶ τί τοῦ λέγει, εἷς ἀγαρηνὸς ἀπὸ τοὺς ἐκεῖ παρισταμένους, γινώσκων τὴν γλῶσσαν τῶν Ρώσσων, εἶπε, «γυνή του εἶναι αὐθέντα, καὶ τὸν ἐνθαρρύνει νὰ μὴ φοβηθῇ τὸν θάνατον, καὶ νὰ ἀρνηθῇ τὴν πίστιν του, τότε προστάζει μὲ ὀργὴν ὁ Βεζύρης νὰ πιάσουν τὴν μακαρίαν νὰ τὴν δέσουν εἰς ἕνα στῦλον τῆς αὐλῆς τοῦ παλατίου, καὶ νὰ τὴν ραβδίσουν εἰς τὰ ὄπισθεν ἀνηλεῶς. Εἶτα τούτου γενομένου ἔπεμψε τὸν μάρτυρα εἰς τὴν φυλακήν, καὶ μετὰ τρεῖς ἡμέρας πάλιν ἐπρόσταξε νὰ τὸν φέρουν ἔμπροσθέν του· καὶ πάλιν τὰ αὐτὰ εἶπε πρὸς τὸν μάρτυρα· ὁ δὲ μάρτυς ἀνδρείως ἀνθίστατο εἰς τοὺς λόγους του, καὶ χριστιανὸς εἶμαι ἐβόα· τότε ὁ Βεζύρης προστάζει τὸν ἀρχιδήμιον, νὰ κόψῃ τὴν ἁγίαν αὐτοῦ κεφαλήν· ὁ δὲ ἀρχιδήμιος λαβὼν τὸν μάρτυρα, τὸν ἔφερεν εἰς τὸ ἱπποδρόμιον, τὸ λεγόμενον τουρκιστί, ἀτμεϊντάν· καὶ ἐκεῖ ἀπέτεμε τὴν ἁγίαν αὐτοῦ, καὶ σεβασμίαν κάραν, καὶ οὕτως ἔλαβε τὸν μαρτυρικὸν στέφανον ὁ ἀοίδιμος, τῇ χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· λυτρωθέντων τῶν ἱερέων μετὰ

ἱκανὰς ἡμέρας μὲ δόσιν χρημάτων· οὗ ταῖς πρεσβείαις καὶ ἡμεῖς λυτρωθείημεν τῶν αἰωνίων βασάνων, καὶ τύχοιμεν σὺν αὐτῷ τῆς αἰωνίου μακαριότητος. Ἀμήν. (1)

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς.

***Τῷ αὐτῷ μηνὶ Δ', μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν ΓΕΩΡΓΙΟΥ τοῦ ἐν τῷ ὄρει Μαλαιῷ.*** (2)

«Ψυχὴν ὁ Γεώργιος ἀσμένως δίδως
»Ψυχῶν Γεωργῷ καὶ φυτουργῷ σαρκίων.
»Τῇ τε τετάρτῃ ἀπῆρε Γεώργιος εἰς πόλον εὐρύν.

***Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων ΘΕΟΔΟΥΛΟΥ καὶ ΑΓΑΘΟΠΟΔΟΣ.***

«Πρῶτος θάλασσαν εἰσιὼν Ἀγαθόπους.
»Ἔργοις ὑπῆρχε χρηστόπους Θεοδούλῳ.

Ἀπὸ τούτους τοὺς δύο μάρτυρας ὁ μὲν Θεόδουλος ἦτο νεώτερος, ὁ δὲ Ἀγαθόπους γέρων κατὰ τὴν ἡλικίαν, ἀμφότεροι δὲ κατήγοντο ἀπὸ τὴν Θεσσαλονίκην. Διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν παρεστάθησαν εἰς τὸν ἄρχοντα Φαυστῖνον, καὶ μὴ πεισθέντες νὰ ἀρνηθῶσι τὸν Χριστόν, ἀλλὰ φυλάττοντες τὴν εἰς αὐτὸν πίστιν ἀσάλευτον, ἐρρίφθησαν εἰς τὸν βυθὸν τῆς θαλάσσης καὶ οὕτως ἐτελειώθησαν, καὶ ἔλαβον οἱ ἀοίδιμοι τοῦ μαρτυρίου τὸν στέφανον. Πρὸ δὲ τῆς τελευτῆς αὐτῶν ἐδηλώθη εἰς αὐτοὺς δι' ἀποκαλύψεως ὅτι ἔμελλον νὰ πάθωσι διότι ἐφάνη εἰς αὐτοὺς καθ' ὕπνον, ὅτι ἐμβῆκαν εἰς πλοῖον καὶ ἔπλεον· ἔπειτα γενομένης τρικυμίας ἐσχίσθη τὸ πλοῖον εἰς δύω, καὶ ὅλοι μὲν οἱ πλέοντες ἐπνίγησαν, αὐτοὶ δὲ μόνοι σωθέντες ἀπὸ τὴν τρικυμίαν, ἀνέβησαν εἰς ἓν βουνόν, τοῦ ὁποίου τὸ μῆκος ἔφθανεν ἕως τοῦ οὐρανοῦ. Ἐδήλωνε δὲ τὸ ὅραμα ἐκεῖνο τὸ ὁποῖον ἔπαθον ὕστερον εἰς τὴν θάλασσαν, καὶ τὴν ἄνοδον αὐτῶν ἐκ τῆς θαλάσσης εἰς τοὺς οὐρανούς. Τοῦτο τὸ ἴδιον ἐφανερώθη αἰνιγματωδῶς εἰς τὸν ἅγιον Θεόδουλον πρὸ τοῦ νὰ πιασθῇ εἰς τὸ μαρτύριον, διὰ μέσου ἑνὸς δακτυλιδίου· ἐφάνη δηλαδὴ εἰς αὐτόν, ὅτι ἔβαλέ τις εἰς τὴν χεῖρά του ἓν δακτυλίδιον, τὸ ὁποῖον ἐσήμαινε τὸν ἀρραβῶνα τοῦ μαρτυρίου, ὅπερ ἔμελλε νὰ τελειώσῃ.

(1) Συγγραφεὺς τοῦ βίου τούτου ὁ ὑπῆρξεν Καρυοφύλλης. (Ἐκ τοῦ Νέου Μαρτυρολογίου).

(2) Τινὲς λέγουσιν ὅτι τὸ Μαλαιὸν εἶναι βουνόν, εὑρισκόμενον εἰς τὴν ἐν Πελοποννήσῳ Μάνην, ὅπερ ὀνομάζεται τὴν σήμερον Κάβο Μαλέας, ἀπιθάνως ὅμως, καθότι τὸ Μαλαιὸν ἦτο ὄρος, ὁ δὲ Μαλέας εἶναι ἀκρωτήριον.

# ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΑΘΛΟΦΟΡΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΘΕΟΔΟΥΛΟΥ ΚΑΙ ΑΓΑΘΟΠΟΔΟΣ.

Εὐλόγησον Πάτερ,

Ἀεὶ μὲν ἐπανθοῦσαν τὴν περὶ τὸν Θεὸν εὐσέβειαν, ὁρῶν ὁ διάβολος ἐπὶ τὸ πονηρότερον τρέπεται· πλέον μὲν οὐδὲν κατὰ τῶν γενναίων περὶ τὴν εὐσέβειαν στρατιωτῶν δράσαι δυνάμενος, μόνον δὲ διελέγχων τοὺς ἀσθενεστέρως τῇ τοῦ Χριστοῦ προσιόντας χάριτι· ὃν τρόπον γὰρ ἐπιπεσόντος πολέμου χώρα τινί, πολὺν χρόνον εἰρήνης γενομένης ὁ μὲν ἀνδρεῖος ἐπιδίδωσι τὸ σῶμά πληγῇ καὶ θανάτῳ πολλάκις, ἵνα τὸν τῆς εὐδοξίας ἀναδήσηται στέφανον, ὁ δὲ τὴν δειλίαν νοσῶν, εἴκει τοῖς ἐναντίοις, μᾶλλον τὴν τοῦ σώματος ἀσφάλειαν, ἢ τὴν εὔκλειαν αἱρούμενος· τοῦτον δὲ τὸν τρόπον, ἐπεὶ δ' ἂν οἱ δορυφόροι τοῦ δράκοντος ἐκείνου διώκειν ὡς πολεμίους, τινὰς τοὺς ἐπὶ Χριστῷ γνωριζομένους κατάρξονται, ὁ μὲν οὔπω βεβαίως ἔχων τὴν ἐπὶ τῷ Θεῷ πίστιν, ὑπὸ τῆς ἀνάγκης τὴν γνώμην τέρπεται, ὁ δὲ ῥήματι Χριστοῦ τὴν ἑαυτοῦ διάνοιαν ὁπλίσας, ἄρρηκτον ἔχει τὴν θεοσέβειαν, ὑπ' οὐδενὸς πονηροῦ διελεγχόμενος· Θεόδουλος δὲ καὶ πλέον ἔδειξε τὸν λογισμὸν ἀεὶ πάθους ἐπικρατεῖν δυνάμενον, ὃς ἔχων συνοπλίτην Ἀγαθόποδα τῆς περὶ τὸν Θεὸν παρρησίας τοσαύτην ἀσεβείας ζάλην καὶ πόλεμον εἰδωλολατρείας ἐπὶ Καίσαρος Μαξιμιανοῦ, κατὰ πάσης φερόμενον τῆς οἰκουμένης, ἀμεταπτώτῳ τῷ λογισμῷ διεσκέδασεν· ἐπειδὴ δὲ ἵπποις πάντα περιθέοντες ἀρνεῖσθαι κατηνάγκαζον τοὺς ὑπηκόους τὸν τῶν ὅλων Θεὸν καὶ Δημιουργόν· καὶ τοῦτο μετὰ πάσης βίας τῷ τυράννῳ κατὰ τῆς θεοσεβείας ἐπραγματεύετο, ἄλλος ἀλλαχόθεν ἀπήγετο· τῆς ἀθέου ἐπιταγῆς ἐκείνης, θάνατον προθείσης, τῷ θύειν ἀρνουμένῳ· οἱ μὲν οὖν τὸν ἐνταῦθα βίον κέρδος οὐ μικρὸν ἡγούμενοι παραχρῆμα μιαροφαγοῦντες, ὀλίγης ἡδονῆς, θάνατον αἰώνιον ἐνιαυτοῖς καὶ κόλασιν ἐταμιεύοντο· οἱ δὲ τὸν λογισμὸν ἐπὶ μέρους ὑγιαίνοντες, ὑπὸ βασάνων καὶ αὐτοὶ διηλέγχοντο τὸν ὄντως Θεὸν ἀρνούμενοι· καὶ τέως ἔχαιρεν ὁ τοιαύτην σκηνὴν δραματουργήσας Διάβολος, ὅτι δὴ φόβῳ τῶν ἀσθενῶν ἐγκρατέστερος ἐγίνετο· Θεόδουλος δὲ καὶ Ἀγαθόπους πᾶσαν ὥραν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ διῆγον νηστείᾳ καὶ προσευχῇ σχολάζοντες, καὶ δεόμενοι συσταλῆναι τὴν τοιαύτην ἀνομίαν. Θαυμάσαντες οἱ περὶ τοὺς στρατηγοὺς καὶ τὸν ἐφεστῶτα λογιστὴν τὴν παρρησίαν τῶν ἀνδρῶν, ὅτι τῶν ἄλλων τὸ λανθάνειν ἑαυτοῖς ἐκποριζόντων αὐτοὶ μόνοι τὸν τοῦ Θεοῦ λόγον διὰ τῆς πείρας ἐκήρυττον, ἤγαγον αὐτοὺς ἐπὶ τὸν ἀγῶνα πολὺ χαριεστέρους, τοῖς προσώποις μετὰ τὰ δεσμὰ γενομένους· ἦν γὰρ ὁ Θεόδουλος, ἀνήρ, ἄρτι μὲν τὸν ἴουλον ἐπανθοῦντα κατὰ τῆς γενειάδος ἔχων· ἄλλως δὲ παῖς ἔτι, τῆς τοῦ σώματος ἕνεκεν σωφροσύνης· τούτῳ πατέρες ἦσαν ἐπὶ τῆς Θεσσαλονικέων ἐμφανεῖς· ἀδελφοὶ δὲ Καπίτων Μητρόδωρος καὶ φιλόστοργος, οἳ νέαν ἔτι τὴν ἡλικίαν ἄγοντες, τελείαν εἶχον τὴν περὶ τὸν Θεὸν εὐσέβειαν, καὶ φύσει καὶ τρόπῳ, τὴν τοῦ μάρτυρος προθυμίαν συμπνέοντες· ὃς καὶ πρὸ τοῦ πάθους, ἀρραβῶνα τῆς μελλούσης ἀγωνίας παρὰ τοῦ κρείττονος ἐδέξατο· οὔπω γὰρ τοῦ δεινοῦ καὶ λίαν ἀθέου κηρύγματος ἐπιφοιτῶντος, ἠρεμῶν ἀωρὶ τῆς νυκτὸς, δέχεταί τι κατὰ τῆς χειρὸς, ἐφ' ᾧ καὶ διηγέρθη· τὸ δὲ ἦν τί ; δακτύλιός τις ἐξ ὧ-

λης καινοτέρας· ἔχων δὲ ἐπὶ τὴν σφενδόνην σφραγίδας, δι' ὧν οἶμαι κατεμήνυσεν ὁ τῶν ὅλων Θεός, ὅτι παρ' αὐτοῦ τὸ δῶρον, τοῦ τὰ τέσσαρα στοιχεῖα διοικοῦντος· εἰ γὰρ σὺν τούτῳ μόνον ἦν, ἐπιφανεῖ ἀνδρὶ, πάθος ἀνίκητον ἀποδυρόμενον· μόνῃ τῇ παρουσίᾳ πρὸς ἀπαλλαγὴν ἥρκει τῆς νόσου. Καὶ τοιοῦτος μέντοι ὡς εἰπεῖν ὁ Θεόδουλος· ὁ δὲ τούτῳ συμπνέων Ἀγαθόπους, ἀνὴρ πρεσβύτης ἤδη τῇ πολιᾷ, τὴν κεφαλὴν ἔντιμος, καὶ τῷ παρελθόντι βίῳ σύμφωνον τὴν τελευταίαν προθυμίαν ἐπιδειξάμενος· ἀμφότεροι, καθαροὶ τῆς θεοσεβείας ὑπηρέται· πᾶσαν γὰρ σωματικὴν ἡδονὴν ἀπωσάμενοι, πρὸς ἕνα Θεὸν καὶ τὸν τούτου Λόγον Ἰησοῦν Χριστὸν διὰ παντὸς ἔβλεπον ὁ μὲν γὰρ Διάκονος ἦν τῶν πραττομένων εἰς τὴν τῶν πιστευόντων σωτηρίαν, Θεόδουλος δέ, δι' ὧν ἀνεγίνωσκε πολλάκις τὰς τῶν Ἀποστόλων καὶ Προφητῶν εἰσηγήσεις, τὴν τῶν πιστευόντων ἀκοὴν βεβαιοτέραν ἀπεργάζετο· οὗτος πολλάκις τοὺς ἀτοπωτέρους τῶν δαιμόνων, τὴν τῶν ἀνθρώπων φύσιν καὶ λόγῳ καὶ στόματι διαστρέφειν πειρωμένους, ῥήματι γυμνῷ καὶ σφραγίδι τοῦ παντοκράτορος ἐφορκίζων πρότερον οὕτως ἀναχωρεῖν τοῦ πλάσματος ἐκέλευεν· οἱ δὲ παραχρῆμα, τοῖς πραττομένοις ὑπήκουον.

Ἀχθέντας οὖν αὐτούς, Φαυστῖνος ὁ τότε Θεσσαλονίκης Ἡγεμών, ἐφ' ὑψηλοῦ καθήμενος, ὡς εἶδε μίαν φωνὴν ἀφέντας, χριστιανοί ἐσμεν, καὶ ταῖς χερσὶν ἀλλήλους συνέχοντας, ὥς περ ἐξ ἑνὸς σώματος ἢ μιᾶς γνώμης, εἰς εἴδη διάφορα μεμορφωμένους, εὐθὺς ἐφοβήθη τῆς παρρησίας τὸ ἄμετρον, μή ποτε μόνοι καὶ θανάτου γενναίῳ λογισμῷ κρατήσωσι. Θελήσας οὖν πειθοῖ πρότερον ἀποπειραθῆναι τοῦ Θεοδούλου, πάντας ὑποχωρεῖν ἐκέλευσεν· οὗτος δὲ τὸν φίλον ὑποκρινόμενος, χρηστὰ προσῆγε τῷ νεωτέρῳ ῥήματα· πείσθητί μοι νεανία, λέγων μὴ καινὴν ἀπάτην ἀπατήσας σεαυτὸν ἐξαγάγῃς τοῦ βίου· ὁ δὲ ὑπομειδιάσας ἠρέμα τῷ προσώπῳ, ἔφη· ἐγὼ μὲν ἐκ πολλοῦ τὴν ἀπάτην ἔφυγον· σὲ δὲ δέδοικα, μὴ ταύτῃ συνηθισμένος, πρῶτον σεαυτὸν εἰς αἰώνιον θάνατον ἐμβάλῃς. Τοῦ δὲ ἡγεμόνος, οὐ δὲ πρὸς τοῦτο κινηθέντος, ἀλλὰ τοῦτο μὲν δώροις ἐνάγοντος, τοῦτο δὲ τιμαῖς ἐκλιπαροῦντος ἑλθεῖν τὸν Θεόδουλον ἐπὶ τὴν ἱερουργίαν, ἕτερός τις ἀνὴρ ἐκεῖσε παρὼν, ἱερεὺς τυγχάνων τῶν εἰδώλων, λέγει πρὸς τὸν μάρτυρα, εἰ μὴ πεισθῇς τοῦ θῦσαι τοῖς θεοῖς, βασάνοις πάντως πεισθήσει ἐπακοῦσαι προστάγματι βασιλέως· ἀποκριθεὶς δὲ ὁ Θεόδουλος εἶπεν· ἀλλ' οὐ τοσοῦτον δυνήσεται ἄνθρωπος καὶ τὰ καθ' ἡμῶν γινόμενα, ὥστε μὴ κρείττους ἡμᾶς ὀφθῆναι τῆς ἀπειλῆς παντα-χόθεν· πάλιν δὲ ὁ ἡγεμὼν πρὸς αὐτὸν εἶπεν· ἀλλὰ τοῦτο λόγισαι, ὅσον διαφέρει τὸ ζῆν μετὰ λαμπρότητος ἢ τεθνᾶναι μετὰ κολάσεως. Καὶ ὁ μάρτυς λέγει· τοῦτο κἀγὼ ἐννοῶν, ὀλίγων μὲν ἐπονειδίστων ἡμερῶν ὑπεριδεῖν βούλομαι· τῶν οὐρανίων δὲ καλῶν μέτοχος γενέσθαι σπεύδω· ὅθεν καὶ πυρὶ δοκίμαζε τὸ σῶμα, γνώσῃ γάρ, ὡς ἐκεῖνο, μὲν ἐν δόσει φθαρτὸν ὂν ὑφ' ὁμοίων ἀναλισκόμενον, ψυχῇ δὲ λογισμῷ πανταχόθεν ἄτρωτος γενομένη πλέον ἠσθήσεται, θαττον ἀπαλλαττομένη τῶν ὑλικῶν πραγμάτων. Φαυστῖνος ἡγεμὼν εἶπε· καὶ τίς οὗτος κρείττων ἐστὶν εἰπέ μοι, δι' ὃν καὶ πληγῶν καὶ θανάτου σήμερον καταφρονῆσαι διέγνωκας; Θεόδουλος εἶπεν· ὁ Θεὸς ὁ τὰ

πάντα φύσεως νόμῳ κατακλείσας, καὶ ὁ τούτου παῖς Ἰησοῦς Χριστὸς ὁ Λόγος τοῦ Σωτῆρος, οὐ καὶ τὴν σφραγίδα παραλαβών, ἐξ ἁπαλῶν ἔτι τῶν ὀνύχων ἄχρι τέλους οὐκ ἀφήσω· θᾶττον γὰρ καὶ τοῦ σώματος ἐκστήσομαι ἢ ταύτης τῆς θεοσεβείας, σοὶ τῷ τυράννῳ πεισθείς. Ὁ δὲ Φαυστῖνος διασύραι βουλόμενος τὰ παρὰ τοῦ Θεοδούλου ῥηθέντα ἔφη πρὸς αὐτόν· καλῶς ἡμῖν ὦ νεανία πέφυκας, ὁ καὶ τὰ κλεῖθρα καὶ τὰς τοῦ Θεοῦ σφραγίδας ἐπικείμενος· ἀπεκρίνατο Θεόδουλος καὶ πάνυ γε ἀξιόπιστος τῆς θεοσεβείας διάκονος, οὗ περ οὐδέποτε δυνήσῃ πυρὶ καὶ σιδήρῳ μαχόμενος, διαρρήξαντά σε τὰ κλεῖθρα τοῦ ἐμοῦ λογισμοῦ καὶ τὴν σφραγίδα ἐπεμβῆναίμοι, Θεὸν τὸν Χριστὸν ἀνακηρύττειν μεμελετηκότι. Θαυμάσας οὖν ὁ Φαυστῖνος τὸν νεανίαν τῆς φρονήσεως, ἄγεσθαι πλησίον καὶ τὸν Ἀγαθόποδα προσέταττεν· τὸν δὲ Θεόδουλον πόρρω γενέσθαι ἐκεῖθεν ἐποίησεν· ὡς δὲ πλησίον γέγονεν ὁ Ἀγαθόπους, λέγει πρὸς αὐτὸν ὁ ἡγεμών. Θῦσον τοῖς θεοῖς· ἰδοὺ γὰρ καὶ Θεόδουλος τὰ πρῶτα πλανώμενος, νῦν θῦσαι κατεπαγγέλλεται· ὁ δὲ Ἀγαθόπους συνεὶς τὴν ἀπάτην ἀποκριθεὶς εἶπεν· ἑτοίμως κἀγὼ τὴν διὰ λόγων θυσίαν ἀνοίσω τῷ Θεῷ μου καὶ τῷ τούτῳ Υἱῷ Ἰησοῦ Χριστῷ· τούτοις γὰρ καὶ Θεόδουλος θυσίαν εὐανθῆ κατεπηγγείλατο θῦσαι. Φαυστῖνος εἶπεν· ἀλλ' οὐ τοῖς ὑπὸ σοῦ μάτην λεγομένοις βούλομαί σε θῦσαι, ἀλλὰ τοῖς ἅπασαν τὴν οἰκουμένην φυλάττουσι δώδεκα θεοῖς· ὁ δὲ Ἀγαθόπους ἠρέμα τὴν κεφαλὴν ἐπισείσας λέγει αὐτῷ· θεοὺς εἰπέ μοι καλεῖς, οὓς ἀκριβείᾳ τέχνης ἐξ ὕλης φθειρομένης εἰς εἶδος ἀνθρώπων ἀπετυπώσατο ; θεοὺς λέγεις οὓς ἄνθρωποι ἑαυτῶν χερσὶν ἀναπλάττοντες μικρὸν ὕστερον ὡς κρείττονας ἑαυτῶν θεραπεύουσι ; θεούς, τοὺς ἀντάραι χεῖρα μὴ δυναμένους πρὸς τοὺς βουλομένους αὐτοὺς ἀνατρέπειν ; θεοὺς τοὺς ὀφθαλμῷ μὲν οὐ βλέποντας, ποδὶ δὲ ἀκινήτους ὄντας καὶ πᾶν αἰσθητήριον ἀνενέργητον κατὰ τὸ σῶμα περικειμένους ; θεούς, οὓς οἱ πάλαι μὲν τῶν Ἑλλήνων ἐμψύχους εἶναι νομίσαντες, μοιχείας νῦν οἱ τὰς τοιαύτας μετιόντες τέχνας, ἀργυρίου καὶ τεττάρων ὀβολῶν διαπιπράσκουσιν ; ἀναξίω δὲ προσάξω θυσίαν ; εἰπὲ πρὸς τοῦ παντοκράτορος ἵνα ταύτην ἐπίδῃ ταῖς ἐκ χειρὸς ἀναγλυφείσαις ὄψεσιν ὁ παρὰ σοῦ νομιζόμενος θεὸς εἶναι ; ὕμνον δὲ ἄσω πρόσφορον, ἵνα ταῖς ἀπὸ χρυσοῦ καὶ ἀργυροῦ πεποικιλμένας ἀκοαῖς τοῦτον δεξάμενος, ὅσων αὐτὸς οὐκ ἔστι μέτοχος, τοσούτων ἐμὲ κύριον ἀποδείξῃ ; Ἔτι δὲ λέγοντος τὰ τοιαῦτα τοῦ μάρτυρος, δεδοικότες οἱ περὶ τὸν ἡγεμόνα, μή ποτε καὶ τοὺς λοιποὺς τῶν ὀφειλόντων ἀνακρίνεσθαι πρὸς τὴν τοῦ Θεοῦ πίστιν ἐπιρρώσῃ, θᾶττον αὐτὸν ἐκέλευσαν, ἐπὶ τὸ δεσμωτήριον ἄγεσθαι μετὰ τοῦ Θεοδούλου, πολὺς δὲ συνεπιρρέων ὄχλος· οἱ μὲν γάρ, τὸ νέον τοῦ Θεοδούλου οἰκτείροντες μετατρέπειν τοῦτον ἐκ τῶν ἀμετακινήτων ἐσπούδαζον· ἕτεροι δέ, τὴν πολιὰν ἐπανθοῦσαν τοῖς κροτάφοις τοῦ Ἀγαθόποδος βλέποντες ἐβόων ὑφ' ἑνὶ τῷ συνθήματι· μὴ καὶ σὺ νέος εἶ Ἀγαθόπου καὶ τὸ συμφέρον ἀγνοεῖς ; οἱ δὲ μακάριοι πρὸς μόνην τὴν εἰς τὸ κρεῖττον εὐσέβειαν ἀφορῶντες, οὕτω σιωπῶντες τῆς φυλακῆς ἔνδον γενόμενοι, καθ' ἡσυχίαν ηὔχοντο, νυκτὸς δὲ μέσης δεξιοῖς ὀνείρασι τοῦ Θεοῦ τούτους πρὸς τοὺς ἀγῶνας ἐπιρρώσαντος, ἀνέστησαν ὑπὸ χαρᾶς ἀμφότεροι, Ἰησοῦν Χριστὸν τὸν σωτῆ-

ρα τῶν ὅλων ἐπιβοώμενοι· εἶτα τὰς χεῖρας ὕδατι καθαρῷ ἐναπονιψάμενοι τὸ γόνυ τε κλίναντες ἐπὶ γῆς ἅμα τῷ προσώπῳ, σύμφωνον εὐχήν, ὥσπερ ἐκ μιᾶς γλώττης ἀνέπεμπον τῷ Θεῷ λέγοντες. «Ὁ Θεὸς τῆς πάντων γενέ»σεώς τε καὶ ὄψεως, ὁ φύσιν διακρίνας καὶ χάος ἀφανίσας, ὁ τάξας οὐρα»νοῦ μὲν πόλον, ὑπὲρ τῶν ὅλων διανύειν ἑκάστοτε, ἥλιον δὲ φωτίζειν μεθ' ἡ»μέραν τὰ πάντα καταναγκάσας, καὶ σελήνην προστάξας, ἀφανίζειν φωτὶ »τὸ σκότος, ἵνα σὺν τοῖς ἄλλοις ἄστροις πάντων τῶν φοβουμένων αἴτιον αὐ»ξήσεως γένηται· ὁ γῆν μὲν ἀποδοὺς ζώων γένεσιν, θαλάττῃ δὲ ἰχθύων γό»νον ὑποβρύχιον· ἀέρι δὲ ὄρνιθας ἐν ἑαυτῷ ἔχειν, ἵνα θάλαττα ἐν οἰκείοις »δώροις θεραπεύει τὸν ὑπὸ σοῦ γενόμενον ἄνθρωπον· ἀὴρ δὲ καὶ αὐτὸς δι' »ὀρνίθων ὠδικῶν εὐχὴν ἐπὶ σοὶ πρόσφορον ἀναβάλληται· γῆ δὲ ποικίλων »καρπῶν ἐξ οἰκείων κόλπων ἀναβρύουσαν, τῷ τῶν ἀνθρώπων γένει· δι' αὐ»τοῦ σοὶ μόνῳ τῷ τῶν ὅλων Δεσπότῃ, τὰ δυνατὰ δι' ὕμνον ἀναπέμπει χα»ριστήρια· σὺ γὰρ ἤδη τοῦ καθ' ἡμᾶς γένους ἀσεβείᾳ κατειλημμένον, καὶ »οὐδὲν ὅτι τῶν διορισθέντων ἀποφυλάττειν βουλόμενον, ἀλλὰ πρὸς μέθας »καὶ κώμους καὶ ἀσελγείας ἐκθέσμους κεχωρηκός, οὐκ ἀφῆκας δι' ὅλου πρὸς »αἰωνίαν λύμην ἐνεχθῆναι· οὐδὲ τοσοῦτον βακχεῦσαι τῷ καθ' ἡμῶν ἐνέδω»κας δαίμονι, ὡς ἄχρι καὶ ταρτάρου τὸν ἡμέτερον βυθίσαι λογισμόν· ἀλλὰ »ἀμνησικακίᾳ τὰ καθ' ἡμᾶς παραδοὺς ἀδικήματα, πέμπεις εἰς ἀνθρώπους »ἐκ θρόνων οὐρανίων τὸν μονογενῆ σου Υἱόν· πᾶσαν ὑποδῦναι φύσιν ἀνθρώ»που, τὴν ἀθάνατον λῆξιν, τῇ θνητῇ καταμίξας οὐσίᾳ, ἵνα τοὺς περὶ τὴν »ἀδικίαν πλανωμένους λόγους ὁ παρὰ σοί, δι' ὧν ἔπραττεν, εἰς εὐσέβειαν »πάλιν ἀνεγείρει· σοῦ γὰρ ἅμα τῷ παιδί, καὶ παῖς ἅμα τῷ Πατρὶ σὺν ἀ»γίῳ Πνεύματι τὴν ὑφηλίῳ πᾶσαν περιθέοντες, τοῖς παραδοξοτέροις τῶν »γινομένων, τοὺς ἀσεβεῖς ἐπὶ τὸ πιστεύειν μεθήρμοσας· οὕτω τοιγαροῦν »Λάζαρος τὸ χρεὼν ἀποτίσας, καὶ τετάρτην ἔχων ἐπὶ τάφον κείμενος ἡμέ»ραν, ὑπὸ σῇ φωνῇ τὰ δεσμὰ τῆς ταφῆς ἀπορρήξας, ἐξ ἀδύτων ἀνέβαινεν »γελάσας διὰ σὲ καὶ φύσεως νόμον καὶ θανάτου δύναμιν· οὕτω καὶ ἕτερός »τις ἀνήρ, ἤδη τῶν ὄψεων ἐστερημένος καὶ τὸ παρὰ σοῦ δῶρον τὸν ἥλιον »ἰδεῖν οὐ δυνάμενος πηλῷ μόνῳ τῇ σῇ δεξιᾷ τοῦ πάθους ἐκείνου καθαρῶς »ἀπαλλάττεται· οὕτω ποτὲ καὶ γύναιον ἐξ ἀπορρητοτέρων μελῶν αἵματι ῥεό»μενον, ἀφῇ καὶ μόνῃ σῆς ἀμπεχόνης ἐξ ἀνηκέστου κινδύνου θᾶττον ἐλπί»δος ἀπηλλάττετο· οὕτως ἤρκεσας ὁ Θεός, καὶ ῥήματι μόνον τὸν παρει»μένον ἐκεῖνον ποιῆσαι φέρειν ἐπ' ὠμῶν τὸν πρώην τοῦτον φέροντα κράββα»τον· οὕτω καὶ νῦν ἐπαρκέσαι τῇ καθ' ἡμᾶς ξυνωρίδι μὴ μελήσῃς, ἵνα τῷ »λογισμῷ τὰ δεινὰ τῶν ἀθέων διενεγκόντες, ἑαυτοῖς προσάψαι πόλις οὐρα»νίοις δυνηθῶμεν».

Τοιαῦτα τῶν μαρτύρων ἔνδον τοῦ δεσμωτηρίου προσευχομένων, οἱ ἐκεῖσε κατάδικοι ὄντες ἐν ἀλύσεσι δεδεμένοι, οἱ μὲν φονεῖς, οἱ δὲ μοιχοὶ ὄντες, οἱ δὲ ἕτερά τε δεδρακότες, πάντες οὗτοι τὸν περὶ τοῦ σώματος θάνατον δεδιέναι ἀφέντες τοῖς τῶν Ἁγίων ποσὶ προσπίπτοντες, μετὰ ὀδυρμοῦ καὶ ὀλολυγῆς πολλῆς μετενόουν, ἐφ' οἷς ἕκαστος διεπράξατο κακοῖς· οἱ δὲ ἔξωθεν τοῦ δεσμωτηρίου περιεστηκότες ὄχλοι, τὴν ὀλολυγὴν καὶ τὸν θρῆνον ἀκούοντες

τὰ κλεῖθρα διαρρήξαντες εἰσεπήδησαν ἔνδον θαυμάζοντες ἐπὶ τοῖς εἰρημένοις θεασάμενοι τὸ γεγονός. Οὐρβανός τις ὁ καὶ εὐψήφιος λογιστὴς τότε ὢν Θεσσαλονίκης καὶ τοῦ Διαβόλου θερμὸς ὑπηρέτης, δρόμῳ χωρεῖ πρὸς τὸν ἡγεμόνα βοῶν καὶ διαμαρτυρόμενος ὅτι φησὶν εἰμὴ θᾶττον ἀναιρεθῶσι Θεόδουλος καὶ Ἀγαθόπους πολλοὶ ἔσονται ἀρνούμενοι τὴν τῶν Θεῶν λατρείαν.

Ταραχθέντος τοίνυν τοῦ Φαυστίνου ἐπὶ τοῖς εἰρημένοις καὶ πάνυ κεκινημένου κατὰ τῶν ἐπεισελθόντων, ἐκέλευσεν εὐθὺς ἀχθῆναι τοὺς Ἁγίους· οἱ δὲ μακάριοι ὥσπερ οὐκ ἐπὶ τιμωρίαν ἀγόμενοι καὶ θάνατον, ἀλλ' εἰς πανήγυρίν τινα καὶ φαιδρότητα στελλόμενοι, διὰ πάντων ἔχαιρον, καὶ τῷ προσώπῳ φαιδρυνόμενοι καὶ ἀγαλλιῶντες, τὸν λόγον τοῦ Θεοῦ διήγγελλον ἐνώπιον πάντων. Προσαχθέντων οὖν αὐτῶν ἐπὶ τοῦ βήματος, λέγει τῷ νεανίᾳ ὁ ἡγεμών· τί λέγεις; ὁ δὲ ἀπεκρίθη· Θεόδουλος λέγομαι· καὶ φησὶν ὁ ἡγεμών· μεμάθηκας ὅτι δεῖ πείθεσθαι πᾶσι καὶ ὑπακούειν οἷς ὁ τῶν ὅλων δεσπότης Μαξιμιανὸς προστάττει; ἀπεκρίνατο Θεόδουλος καὶ εἶπεν· ὅσα μὲν ὁ Δεσπότης Οὐρανοῦ καὶ γῆς προστάττει, ταῦτα ποιεῖν καὶ λίαν εὐσεβές· ὅσα δὲ ὁ Μαξιμιανός, εἰ μὲν δίκαια καὶ πάνυ δέον ὑπακούειν· εἰδὲ ἄνομα οὐκ ἀναγκαῖον. Φαυστῖνος ὁ ἡγεμὼν εἶπε· τίς γὰρ ὁ τὸν Οὐρανὸν ποιήσας εἰπέ μοι· ἀπεκρίνατο Θεόδουλος ὁ Θεὸς ὁ Παντοκράτωρ, καὶ ὁ τούτου παῖς Ἰησοῦς Χριστὸς ὁ Λόγος τοῦ Πατρός. Φαυστῖνος εἶπεν· ὃν ἐσταύρωσαν οἱ Ἰουδαῖοι καὶ τιμωρίαις ἀνηκέστοις περιέβαλον; ἀπεκρίθη Θεόδουλος· ὃν ἐσταύρωσαν ἐκεῖνοι δι' ἡμᾶς τοῦτο παθεῖν βουλόμενον· καὶ μικρὸν ὕστερον ἐπεῖδον ἐκ νεκροῦ σώματος, εἰς ζῶσαν φύσιν μεταβαλλόμενον· εἶτα δίκην περιστερᾶς τῷ πνεύματι πρὸς Οὐρανὸν ἀναβαίνοντα· ταῦτα γὰρ ἐποίει, καὶ θανάτου κρατῆσαι βουλόμενος, καὶ τῶν ἀπειθούντων διελέγξαι τὸν λογισμόν. Φαυστῖνος εἶπε· τί γὰρ οὐχὶ μᾶλλον τοῖς θεοῖς ἡμῶν θυσίαν ἱερουργῆσαι κατεπαγγέλλει; ἀπεκρίνατο Θεόδουλος· ὅτι βέλτιόν ἐστι τὸν ποιήσαντα τὴν τῶν ἀγαλμάτων ἀκρίβειαν θεραπεύειν, ἢ τὰ πρὸς τέρψιν καὶ ἀπάτην ὄψεως γεγενημένα· τὸ γὰρ ποιοῦν τοῦ γινομένου προτιμότερον. Κελεύσαντος οὖν τοῦ Φαυστίνου τοῦτον γυμνωθῆναι τῶν ἱματίων, περιέσπον οἱ δορυφόροι τὸν νεανίαν πικρῶς· κήρυκος ἐπιβοῶντος θῦσον καὶ ἀφεθήσει· ὁ γοῦν Θεόδουλος ἐπὶ τοῖς γινομένοις εἰς αὐτὸν εἶπεν· τοῦ μὲν σώματος ἀφαρπάσαι τὸν χιτῶνα, καὶ πάνυ δυνήσει, τοῦ δὲ λογισμοῦ τὴν ἐπὶ τῷ Θεῷ μου πίστιν, οὐκ ἀποσυλήσεις εἰς τὸν αἰῶνα.

Ἐπὶ πλεῖον δὲ αὐτοῦ παρρησιαζομένου, καὶ πρὸς φόβον οὐ τρεπομένου τῶν ἐπηρτημένων δεινῶν, ἀλλὰ τύραννον ἀποκαλοῦντα τὸν Μαξιμιανόν, ἐκέλευσεν ὁ Φαυστῖνος ἑτέρους τινὰς ἐνώπιον Θεοδούλου βασανιζομένου καὶ μὴ ὑποφέροντας τὴν ἀνάγκην τῶν τιμωριῶν μιαροφαγεῖν· ὁ δὲ Θεόδουλος βλέπων τὰ παρόντα βασανιστήρια λέγει πρὸς τὸν ἡγεμόνα· ταῦτα μέν σου τὰ βασανιστήρια μικρά, καὶ ὄντως γέλωτος ἄξια· εἴθέ τι καὶ μεῖζον καθ' ἡμῶν ἐφεῦρες, οὕτω γὰρ ἂν ἔγνως γενναίαν οὖσαν τὴν καθ' ἡμᾶς ξυνωρίδα καὶ πάθος ἐπικρατεῖν ὑπὲρ εὐσεβείας δυναμένην· Φαυστῖνος εἶπεν, ἀναγκαῖον σε σήμερον εἰς μέσον ἀγαγεῖν καὶ τὰς καλουμένας παρὰ τοῖς χριστιανοῖς γραφάς· ἀποκριθεὶς ὁ μάρτυς λέγει· εἰ μὲν τὴν εἰδωλολατρείαν ἀπάτην ἡγησάμενος φρονεῖς τὰ κρείττονα, καὶ τούτου χάριν

ἐπιζητεῖς ἀκοῦσαι Προφητῶν ῥήματα καὶ Ἀποστόλων. κρατῦναί σου τὸν λογισμόν, πρὸς θεοσέβειαν βουλόμενος, ἕτοιμος ἐγὼ παραθεῖναί σοι πάντα τὰ πρὸς τοῦτο συντείνοντα· εἰ δὲ μή γε, μὴ προσδοκήσῃς με ποτὲ προδότην γενέσθαι τῆς τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν χάριτος. Φαυστῖνος ὁ ἡγεμὼν εἶπεν· γνώσῃ τοῦτο, νεανία, ὅτι οὐ φείσομαί σου τοῦ σώματος ἀκρωτηριάζων αὐτὸ καὶ παντοίοις τιμωρούμενος· Θηρίων τε βορὰν τιθέμενος, εἰμὴ τὸ προστατττόμενόν σοι θᾶττον ποιήσῃς· Θεόδουλος ἔφη, ἔξεστί σοι λυσσῶντι κατὰ τοῦ σώματός μου ποιεῖν ὅσα βούλει, ἐγὼ δὲ τούτων οὐδὲ μίαν λήψομαι αἴσθησιν· κἂν πικρότερα τῶν εἰρημένων νεανινεύσῃ κατ' ἐμοῦ· τούτων παρ' ἀμφοτέρων λεγομένων, πολλῆς τε ὥρας παρατρεχούσης καὶ τοῦ Θεοδούλου μὴ δὲ πρὸς τὴν ἔκδοσιν τῶν γραφῶν ἐνδιδόντος, ἄλλος ἀλλαχόθεν προσιόντες, οἱ μὲν δώροις τοῦτον δελεάζειν ἐπειρῶντο· ἕτεροι δὲ φόβῳ καὶ ἀπειλαῖς καταπλήττειν· ὁ δὲ στερρότητι λογισμοῦ κατωχυρωμένος πανταχόθεν διέπτυε ταῦτα, καὶ ὡσεὶ λῆρον ἐλογίζετο· τότε ὁ Φαυστῖνος ἀφανεῖ νεύματι τοὶς δημίοις ἐπισημηνάμενος, ἐκφοβεῖν δῆθεν τοῦτον βουληθείς, κελεύει αὐτὸν τὴν διὰ ξίφους ὑποσχεῖν τιμωρίαν· ἐλθόντων οὖν ἐπὶ τὸν ὡρισμένον τόπον, ὡς εἶδεν ὁ μάρτυς τὸν δήμιον ἀνατείνοντα τὸ ξίφος, κλίνας τὸν αὐχένα ἐπὶ σφαγήν, τοιοῦτόν τι πρὸς τὸν Θεὸν ἀναβοήσας ἔφη. «Δόξα σοι Πάτερ τοῦ παθόντος δι' »ἡμᾶς· ἰδοὺ γὰρ ἔσομαι κἀγὼ εἷς τῶν πατησάντων τὸν θάνατον διὰ τὴν ἐπὶ »σοὶ παρρησίαν» μαθὼν οὖν ὁ Φαυστίνος ὅτι ὁ Θεόδουλος καθάπερ τινι στεφάνῳ τὴν κεφαλὴν ὑπέκλινε τὸ ξίφει, ἐκέλευσε τοῦτον ἄγεσθαι πάλιν ἐπὶ τοῦ βήματος, αὐτὸς δὲ τὸν ἕτερον ἐπηρώτα εἰπών· τίς λέγει ; ὁ δὲ ἀπεκρίνατο Ἀγαθόπους καλοῦμαι· Φαυστῖνος εἶπεν· ποίας τύχης εἶ· καὶ ὁ μάρτυς ἦς καὶ Θεόδουλος· Φαυστῖνος λέγει· ποία γὰρ σοὶ κοινωνία πρὸς Θεόδουλον γέγονε; ἢ καὶ γένος καὶ φύσις εἰς ἓν ὑμᾶς συνήγαγεν ; Ἀγαθόπους εἶπεν· τὸ μὲν γένος διάφορον, ὁ δὲ τρόπος εἷς· καὶ ὅσον τῇ φύσει χωριζόμεθα, τοσοῦτον τῇ πίστει συναπτόμεθα· Φαυστῖνος εἶπεν· οὐκ οὖν ἐπὶ μίαν κόλασιν ἀμφότεροι σπεύδετε; τοῦτο γὰρ ἔστι τὸ παρὰ σοῦ λεγόμενον· ὁ μάρτυς ἔφη· ὑφ' ἑνὶ γὰρ συνθήματι τῶν ἐντεῦθεν ἀπαλλαγέντες πραγμάτων, ὑφ' ἑνὶ νεύματι καὶ ἀμοιβὴν παρὰ τοῦ Θεοῦ ληψόμεθα· Φαυστῖνος εἶπεν· καὶ πῶς οὐκ ἄτοπον ἐπίσης σφαλλόμενον σε εἰς προφανῆ κίνδυνον ἑαυτὸν καθιέναι ; Ἀγαθόπους εἶπεν· οὐ, μὰ τὴν εἰς Χριστὸν προσδοκίαν ἀλλ' ὁδεύων τοῖς χρόνοις εἰς τοῦτο τοῦ γήρως προελήλυθα καὶ πρὸς αὐτὸν πλέον καὶ ἐμαυτὸν ἀποδέχομαι τῆς προθυμίας, καὶ Θεόδουλον τῆς ἐν ἀκμῇ τοῦ σώματος καρτερίας· τότε λέγει τῷ νεανίᾳ ὁ ἡγεμών· Θεόδουλε, μὴ τούτοις τοῖς δελεαζομένοις ῥήμασι ἄρτι γενειάζον ἀφειδῶς ἐπιπήδα τῷ ξίφει· ὁ μὲν γὰρ ἤδη παλαιὸς ὢν οὐδὲν παράδοξον εἰ καὶ πρὸς τέλος ἐπείγεται· σὺ δὲ μὴ τοῦτο βουληθῇς, μητέ τι ἕτερον προκείμενόν σοι ἀφαιρεθῇς· πρὸς ὃν ὁ Θεόδουλος ἑτοιμώτατα εἶπεν· ἀλλ' οὐχ οὕτως ἐμαυτὸν ὑπολαμβάνω ἀσθενῆ, ὡς γενναιότερον ἐν τῷ καρτερεῖν ὑπὲρ εὐσεβείας, τὸν πολιὸν ὀφθῆναι τοῦ νέου.

Ταῦτα τῶν μαρτύρων λεγόντων καὶ σφόδρα ἀνθισταμένων, στρεβλώσαντες αὐτοὺς οἱ δήμιοι, ἀπήγαγον πάλιν ἐν τῇ φρουρᾷ, δοξάζοντας τὸν Θεὸν

ἐφ' οἷς ἐδόκουν νενικηκέναι τὸν διάβολον· τινὲς οὖν τῶν γνωρίμων περιΐσταντο δεδακρυσμένοι τοῖς μάρτυσι. Καὶ λέγει αὐτοῖς Θεόδουλος· τί ἡ σύνοδος ἢ τὰ δάκρυα; ἐκεῖνοι δὲ εἶπον· ὀδυνώμεθα διὰ τὰ ὑμῖν ἀποκείμενα δεινά· ὁ δὲ μάρτυς, γαληνιῶν μάλα τῷ προσώπῳ, λίαν ὑπομειδιάσας εἶπεν· εἶπατέ μοι πῶς ἀφέντες θρηνεῖν τὰς ἰδίας συμφοράς, ἐπὶ τοὺς τῶν κρειττόνων ἐφιεμένους σκυθρωπάζετε καὶ λυπεῖσθε; τοιαῦτα τοῦ Θεοδούλου λέγοντος, ἐπιστὰς ὁ στρατιώτης, καὶ σιδηροδέσας ἀμφοτέρους, παρήγαγεν ἐνδοτέρω, τὸν ἐπιόντα δῆμον ἀποσοβῆσαι βουλόμενος· ἑσπέρας οὖν βαθείας γενομένης, εὐξάμενοι τῷ Θεῷ κρατῦναι τούτοις δι' ὅλου τὸν λογισμὸν ἐν τῇ θεοσεβείᾳ, ἡσύχασαν ἠδέως· ὁ δὲ τῶν Ὁσίων ἔφορος Χριστὸς Ἰησοῦς, μίαν γνώμην τούτοις ἔχουσι, μίαν ὄψιν εἰς εἰκασίαν τοῦ μέλλοντος ἐξαπέστειλεν· ἐδόκουν γὰρ ἀμφότεροι ἐπιβεβηκέναι πλοίου, ὑπὸ πνευμάτων ἀτάκτων ἐν πελάγει χειμαζομένου· συνεχῶς δὲ τῶν κυμάτων ἐκ τῆς τῶν ἀνέμων βίας προσηραγμένων ταῖς πλευραῖς τοῦ πλοίου λύεσθαι τὴν τρόπιν καὶ πάντα τὰ δοκοῦντα συνέχειν αὐτῷ· πολλῶν δὲ καὶ ἄλλων ἀνδρῶν ὄθθεν ἐν τῷ πλοίῳ ὄντων οἱ μὲν εἰς τὸ κλυδώνιον κατεδύοντο, οἱ δὲ πρὸς τοὺς σκοπέλους καθάπερ ἰχθύες περιεπείροντο καὶ ἄλλοι ἀλλαχόσε προσερρήγνυντο· μόνους δὲ ἑαυτοὺς οἱ μάρτυρες ἐθεώρουν σωζομένους ὑπὸ τῆς τοῦ κυβερνήτου τέχνης, ἐσθῆτά τε λαμπρὰν περικειμένους, καὶ προβαίνοντας ὄρει ὑψηλοτάτῳ καὶ πρὸς αὐτὸν τὸν Οὐρανὸν ἀνατεινομένῳ. Τοῦτο οὖν περὶ αὐτῶν θεασάμενοι τῆς νυκτός, ἄφνῳ διηγέρθησαν ἕτερος τῷ ἑτέρῳ ὡς ἀγνοοῦντι τὴν ὄψιν διηγήσασθαι βουλόμενος· ὡς δὲ τὴν τοῦ Θεοῦ χάριν ἴσην ἐπ' ἀμφοτέροις φανεῖσαν ἔγνων, χρηστὰς ἔχοντες τὰς περὶ τοῦ μέλλοντος ἐλπίδας, πρόσφορον ὕμνον τῷ χρόνῳ τῆς ὄψεως ἔλεγον· τί τοσοῦτον ὁ Θεὸς ἐάν τις ὑπομείνῃ, ὅσον ἐκ φιλανθρωπίας τῆς τοῦ παιδὸς Ἰησοῦ Χριστοῦ δεξάμενος ἀναπαύσεται; τίς οὕτω τὸν τρόπον ἀνήμερος, ὃς ἐκ τῆς τοιαύτης εὐποιΐας, οὐ τὴν θεοσέβειαν ἀσπάζεται πρὸ τῆς ἀλόγου ταύτης ἡδονῆς; τίς οὕτω πρόχειρος εἰς εὐεργεσίαν ὡς ὁ Λόγος σου Ἰησοῦς Χριστός, ὃς πρὸ τοῦ δώρου μηνύσας δι' ὄψεως τὴν χάριν καὶ τὸν στέφανον ἡμῖν πρὸ τῆς ἀγωνίας ἐπιδείξας, ῥωμαλεωτέρους ἡμᾶς πρὸς τὸ στάδιον τῆς θεοσεβείας ἀπειργάσατο;

Ταῦτα προσευχομένων αὐτῶν, παρῆσαν οἱ τοῦ ἡγεμόνος στρατιῶται ζητοῦντες λαβεῖν τοὺς μάρτυρας Θεόδουλον καὶ Ἀγαθόποδα· ἀναστάντες οὖν οἱ ἅγιοι καὶ σφραγίσαντες ἑαυτοὺς τῷ τοῦ σταυροῦ σημείῳ ἠκολούθησαν τοῖς δορυφόροις, δεδεμένοι· τὸ δὲ πλῆθος τῶν πιστῶν μεγάλως ἐθρήνουν, ἐννοοῦντες τὸν πικρὸν αὐτοῖς δοκοῦντα θάνατον τῶν γενναίων ἀθλητῶν τοῦ Χριστοῦ· Λέγει οὖν πρὸς αὐτοὺς ὁ μακάριος Θεόδουλος φαιδρῷ τῷ προσώπῳ εἰ μὲν ἐπὶ φιλίᾳ τοῦτο γίνεται παρ' ὑμῶν μᾶλλον ἐφ' οἷς εὐδοκιμοῦμεν πανηγυρίζετε· εἰ δὲ φθόνῳ, μᾶλλον ἐπὶ ταῖς ἑτέρων εὐπραγίαις ἀποδύρεσθε· κοινὸν γὰρ τὸ τῆς εὐσεβείας πρόκειται στάδιον. Καὶ πάντας μὲν ἐπίσης καλεῖ τὸ τῆς πίστεως κήρυγμα· ὀλίγοις δὲ δίδωσι τὸν στέφανον ὃν οὐ πλοῦτος, οὐχ ἡδονή, τὸν λογισμὸν διήλεγξεν. Ἔτι αὐτοῦ ταῦτα λέγοντος Φαυστῖνος ἡγεμών, ἐπὶ βήματος ὑψηλοῦ προκαθίσας, εἰσαχθέντων ἐνώπιον αὐτοῦ τῶν ἁγίων, ἀντηρώτα αὐτοὺς ἐπὶ πολύ· τῶν δὲ πλεῖον μηδὲν ἀποκρινομένων, ἢ

μόνον χριστιανοὶ ἐσμέν, ἀλλὰ καὶ αἱρούμεθα ὑπὲρ τούτου πάντα παθεῖν· σκυθρωπάσας ὁ Φαυστῖνος ἀπεφήνατο κατ' αὐτῶν οὕτως· Θεόδουλον καὶ Ἀγαθόποδα μὴ βουλομένους θύειν, ἐν τῇ θαλάσσῃ ριφθῆναι προστάσσω· λαβόντες οὖν αὐτοὺς οἱ δορυφόροι, τὰς χεῖράς τε τούτων στρεβλώσαντες ὄπισθεν, καὶ λίθους βαρεῖς κατὰ τῶν τραχήλων αὐτῶν καὶ τοῦ νώτου προσδέσαντες ὥστε τῷ βάρει τῶν λίθων εἰς τὸν βαθύτατον πυθμένα τῆς θαλάσσης τὰ τῶν ἁγίων σώματα καταδῦναι· πολλοὶ δὲ τῶν ἐπιτηδείων καὶ φίλων, εἰς πλοιάρια ἐμβάντες παραγίνονται ἐκεῖσε ὅπου οἱ ἅγιοι ριφθῆναι ἔμελλον. Καὶ ὑπὸ μὲν τῆς φύσεως νικώμενοι, ἐδάκρυον ἐπὶ τῷ τέλει τῶν μαρτύρων· ἐμακάριζον δὲ αὐτοὺς ἀγωνισαμένους ἐπ' εὐσεβείᾳ καλῶς, καὶ νικήσαντες τὸν ἀρχέκακον δράκοντα· ἀναχθέντος οὖν τοῦ σκάφους ἐν ᾧ ἦσαν οἱ ἅγιοι, ἰδοὺ καί τινες τῶν Ἑλλήνων ἀνέπλεον, γνώμῃ τοῦ Φαυστίνου τὰ τοιαῦτα σοφιζομένου πρὸς τὸν ἀμετανόητον τῆς καρτερίας λογισμόν.

Τέλος ἐκπέμπει πρὸς αὐτοὺς Φοβιόντα, ἄνδρα περιφανῆ, λιβανωτῷ μόνῳ τοὺς μάρτυρας ἀρνήσασθαι τὸν Θεὸν προτρεπόμενον· οἱ δὲ ὡς ἤδη τῇ τοῦ Θεοῦ τετελεσμένοι χάριτι, Χριστὸν Ἰησοῦν ἐπεβοῶντο μόνον· πολλῆς οὖν παρελκούσης τῆς ὥρας, καὶ τῶν ὀημίων τὸν Ἀγαθόποδα πρότερον ῥίψαι κατὰ τοῦ πελάγους ὡρμημένων, ἀνατείνας εἰς τὸν Οὐρανὸν τὸ πρόσωπον ὁ μάρτυς φωνὴν ἀφῆκε λαμπροτάτην εἰπών· ἰδοὺ καὶ δευτέρῳ τούτῳ βαπτίσματι σήμερον καθαιρόμεθα πᾶσαν ὑπόνοιαν ἀδικίας ἀποθέμενοι ἀφ' ἑαυτῶν, καὶ πρὸς Χριστὸν Ἰησοῦν ἐπειγόμεθα καθαροὶ τὸν λογισμόν· τούτων οὕτως ῥηθέντων, οἱ μὲν στρατιῶται καθῆκον εἰς τὸ κλυδώνιον Ἀγαθόποδα καὶ τὸν Θεόδουλον, ὑπὲρ θεοσεβείας νίκην ἀναδησαμένους· θάλαττα δὲ ἡ τούτους ὑποδεξαμένη ῥήξασα τὰ δεσμὰ τῶν λίθων, ἀπέδωκε τὰ σώματα τοῖς οἰκείοις τῶν μαρτύρων πολὺ φαιδροτέρα· οἷς καὶ μικρὸν ὕστερον ἐπιφανεὶς Θεόδολος, ἅμα στολῇ καὶ τῷ πρέποντι σχήματι προσέτταται τὴν ἑαυτοῦ πᾶσαν οὐσίαν χήραις καὶ ὀρφανοῖς διανεῖμαι, ἵνα γνωσθῇ ὁ μακαριος μὴ μόνον μετὰ τὴν ἐντεῦθεν ἀναχώρησιν ἐπαρκεῖν τοῖς δεομένοις, ἀλλὰ καὶ τοὺς οἰκείους ἐνάγειν ἐπὶ τῷ τοιούτῳ τῆς θεοσεβείας πράγματι· τούτων οὖν εἰκότως ἐτησίως συντρέχοντες τὴν μνήμην ποιούμεθα· δίκαιον γάρ, ἐκείνοις μὲν εὐχὰς ἀναπέμπειν μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν, ἑαυτοὺς δὲ κατὰ τὸ δυνατὸν ζηλωτὰς ἐκείνων γενέσθαι τῆς πίστεως· ἐτελειώθησαν δὲ Θεόδουλος καὶ Ἀγαθόπους μηνὶ Ἀπριλίῳ τετάρτῃ εἰς δόξαν Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν· ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις· σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

***Μνήμη τῆς ἁγίας μάρτυρος ΦΕΡΦΟΥΘΗΣ,*** (1) ***καὶ τῆς αὐταδέλφης αὐτῆς, καὶ τῆς ταύτης παιδίσκης.***

**Εἰς τὴν Φερφούθαν.**

»Ἁπλῆν με πλάττεις, Χριστὲ διπλὲ τὴν φύσιν,
»Ἔχεις δὲ πρισθεῖσάν με διπλῆν Φερφούθαν.

(1) Παρὰ τοῖς Μηναίοις Φερβούθη γράφεται. Σ. Ε.

**Εἰς τὴν αὐταδέλφην καὶ τὴν παιδίσκην αὐτῆς.**

»Δούλας ἀληθεῖς Δεσπότου Θεοῦ δύο,
»Δούλην τε καὶ δέσποιναν ἔπρισε πρίων.

Αὗται αἱ ἅγιαι γυναῖκες ἦσαν κατὰ τοὺς χρόνους Σαβωρίου μὲν βασιλέως Περσῶν, Κωνσταντίνου δὲ τοῦ μεγάλου βασιλέως Ρωμαίων ἐν ἔτει τλ'. (330), ἀδελφαὶ οὖσαι τοῦ ἁγίου Συμεὼν τοῦ μαρτυρήσαντος ἐν Περσίᾳ ὁμοῦ μὲ ἄλλους χιλίους ἑκατὸν πεντήκοντα χριστιανούς. (1) Ἐπειδὴ δὲ ἡ τοῦ βασιλέως γυνὴ ἔπασχεν ἀπό τινα συμβᾶσαν ἀσθένειαν, διὰ τοῦτο διέβαλον τινὲς τὰς ἁγίας ταύτας, ὅτι εἶναι μάγισσαι, καὶ κατασκευάζουσι θανατηφόρα φάρμακα. Ὅθεν ἐπιάσθησαν καὶ ἐφέρθησαν εἰς τὸν ἀρχιμάγον, Πάπαν ὀνομαζόμενον· αἱ δὲ ἅγιαι ἀπελογήθησαν, ὅτι εἶναι ἀθῶαι τῆς διαβολῆς αὐτῆς καὶ συκοφαντίας, καὶ ὅτι εἶναι χριστιαναί, εἰς δὲ τοὺς χριστιανοὺς δὲν εἶναι συγχωρημένον νὰ πράττωσι τοιαῦτα μαγικὰ καὶ παράνομα ἔργα. Ἐπειδὴ δὲ διπλῆ ἔγεινε κατ' αὐτῶν ἡ κατηγορία, καὶ ὅτι εἶναι μάγισσαι, καὶ ὅτι εἶναι χριστιαναί, διὰ τοῦτο κατεδικάσθησαν νὰ θανατωθῶσι. Λοιπὸν ἐξηπλώθησαν κατὰ γῆς, καὶ ἐδέθησαν αἱ μακάριαι ἀπὸ πασάλους· ἔπειτα ἐπριονίσθησαν εἰς τὴν μέσην ἀπὸ τὸν λαιμὸν ἕως εἰς τοὺς πόδας, καὶ ἀφ' οὗ ἐμοιράσθησαν εἰς δύο τὰ σώματά των, ἐκαρφώθησαν ἐπάνω εἰς ξύλα τὰ τούτων κομμάτια. Διαπεράσασα δὲ διὰ μέσου αὐτῶν ἡ βασίλισσα, ἰατρεύθη ἀπὸ τὸ πάθος της· διότι οὕτως ἐπληροφόρησαν αὐτὴν οἱ τὰς ἁγίας διαβάλλοντες, ὅτι κατ' ἄλλον τρόπον δὲν δύναται νὰ ἰατρευθῇ παρὰ ἂν διέλθῃ ἀναμέσον τῶν νεκρῶν σωμάτων τῶν ἁγίων.

*Ὁ ἅγιος ΠΟΠΛΙΟΣ ἐν εἰρήνῃ τελειοῦται.*

»Ἐν οὐρανοῖς, Πόπλιε, μισθός σοι μέγας,
»Πρὸς οὓς ἀπαίρων χαῖρε καὶ κρότει μέγα.

*Ὁ ὅσιος πατὴρ ἡμῶν ΠΛΑΤΩΝ, ὁ ἡγούμενος μονῆς τῶν Στουδίου ἐν εἰρήνῃ τελειοῦται.*

»Πλάτων ἀρίστην εὖ μετεπλάσθη πλάσιν,
»Χριστῷ πλάσαντι, συγκραθεὶς κράσιν ξένην.

*Οἱ ὅσιοι ΘΕΩΝΑΣ, ΣΥΜΕΩΝ καὶ ΦΕΡΒΙΝΟΣ, ἐν εἰρήνῃ τελειοῦνται.*

»Ψυχὰς δέχου τρεῖς οὐ κεκηλιδωμένας,
»Ψυχῶν ἀκηλίδωτε τῶν θείων τόπε.

(1) Τούτου ἡ μνήμη καὶ τὸ Συναξάριον εὑρίσκεται κατὰ τὴν δεκάτην ἑβδόμην τοῦ παρόντος μηνός.

***Ὁ ὅσιος ΘΕΩΝΑΣ, ὁ ἐν τῇ μονῇ τοῦ Παντοκράτορος ἀσκήσας, ὕστερον δὲ ἐπίσκοπος Θεσσαλονίκης γενόμενος, ἐν εἰρήνῃ τελειοῦται.*** (1)

»Λοιπὸν Θεωνᾶς τὴν κάτω προεδρείαν,
»Παρίσταται νῦν τῷ Προέδρῳ τῶν ὅλων.

Οὗτος γὰρ πρότερον εὑρισκόμενος ἐφημέριος εἰς τὴν μονὴν αὐτὴν τοῦ Παντοκράτορος, (καθὼς φαίνεται ἐν τῷβίῳ τοῦ ὁσιομάρτυρος Ἰακώβου τοῦ Ἰβηρίτου) ὕστερον ὅταν ὁ θεῖος Ἰάκωβος, ὑπῆγεν εἰς τὸν κόσμον κηρύττων, ἠκολούθησε καὶ αὐτὸς ὁμοῦ μὲ ἄλλους, εἰς τοὺς ὁποίους, μετὰ τὸν μαρτυρικὸν θάνατον τοῦ ἁγίου Ἰακώβου, ἐγένετο προεστὼς καὶ ποιμὴν ἐν τῷ μοναστηρίῳ τῆς ἁγίας Ἀναστασίας, τῷ κειμένῳ εἰς τὴν Γαλάτισταν· ὕστερον δὲ ἐγένετο καὶ Μητροπολίτης Θεσσαλονίκης καὶ νῦν εὑρίσκεται σῶον τὸ ἅγιόν του λείψανον εἰς τὸ ἀνωτέρω μοναστήριον.

## ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ
## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΘΕΩΝΑ

***Ἀρχιεπισκόπου Θεσσαλονίκης καὶ κτίτορος τῆς εὐαγοῦς μονῆς τῆς ἁγίας Ἀναστασίας τῆς Φαρμακολυτρίας τῆς κατὰ τὴν Θεσσαλονίκην τοῦ Θαυματουργοῦ.***

Στενὴν ὁδεύσας ἐν βίῳ πάτερ τρίβον, τανῦν χορεύεις οὐρανοῦ εἰς τὸ πλάτος. Πνεῦμα Θεωνᾶ, ἔνθεν ἀπέπτη εἰς κλειτὸν Ἄστυ.

Οὗτος ὁ ὅσιος καὶ θεοφόρος πατὴρ ἡμῶν Θεωνᾶς, ὁ τοῦ Πατρὸς τῶν φώτων Υἱός, ὁ τῆς εἰρημένης σεβασμίας μονῆς τῆς ἁγίας Ἀναστασίας κτίτωρ καὶ καθηγητὴς καὶ διδάσκαλος, ὁ τῆς Θεσσαλονίκης καὶ τῆς Θετταλίας ὅλης ἁγιώτατος ποιμενάρχης, τὸ κλέος τῶν Ἀσκητῶν, τῶν Ἀρχιερέων τὸ ἐγκαλλώπισμα, καὶ τῶν Χριστιανῶν ἁπάντων τὸ ἔξοχον σεμνολόγημα, τίνα μὲν εἶχε πατρίδα ἐπὶ τῆς γῆς, ἢ τίνας καὶ ποταποὺς γονεῖς, ἢ μὲ ποῖον τρόπον ἐγένετο Ἀρχιερεὺς τῆς Θεσσαλονίκης, ἀπὸ ἱστορίαν ἔγγραφον, ἢ παράδοσίν τινα, οὐκ ἐμάθομεν· ἢ διατὶ ὁ ἅγιος δὲν ἐφανέρωσεν εἴς τινα τὸ ὄνομα τῆς πατρίδος καὶ τῶν γονέων του (καθὼς καὶ πολλοὶ ἄλλοι τῶν ἁγίων τὸ ἔκρυψαν), μὲ τὸ νὰ ἐμίσησαν τελείως πάντα τὰ γήϊνα πράγματα· καὶ πατρίδα μὲν εἶχε τὴν ἐπουράνιον Ἱερουσαλήμ, τὴν κοινὴν τῶν προωρισμένων πατρίδα, γονεῖς δέ, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ τὴν Κυρίαν ἡμῶν Θεοτόκον, ἀδελφοὺς δὲ καὶ συγγενεῖς, ὅλους τοὺς ἀπ' αἰῶνος ἁγίους, ἢ καὶ διατὶ ὁ πανδαμάτωρ χρόνος, καθὼς καὶ ἄλλα πολλά, οὕτως ἠφάνισε καὶ τὰ τῆς ζωῆς

(1) Σημείωσαι, ὅτι εἰς τὸν ἅγιον τοῦτον Θεωνᾶν ἐφιλοπόνησεν Νικόδημος ὁ Ἁγιορείτης ἀσματικὴν ἀκολουθίαν, ἥτις εὑρίσκεται ἐν τῇ ἱερᾷ μονῇ τῆς ἁγίας Ἀναστασίας τῇ εἰς τὴν Γαλάτισταν κειμένῃ ὅπου καὶ τὸ ἅγιον αὐτοῦ κατάκειται λείψανον.

περὶ τοῦ ἁγίου ὑπομνήματα καὶ διηγήσεις· τόσον δὲ μόνον ἠξεύρομεν περὶ αὐτοῦ ὅσα ἀναφέρει ὁ βίος τοῦ Ὁσιομάρτυρος Ἰακώβου τοῦ νέου, τοῦ ἐν τῷ ἁγίῳ ὄρει τοῦ Ἄθω, ἀσκήσαντος ἄνωθεν τῆς τῶν Ἰβήρων μονῆς, ὅπου τώρα εἶναι ἡ Σκήτη τοῦ τιμίου Προδρόμου. Οὗτος λοιπὸν ὁ βίος διηγεῖται, ὅτι ὁ ἅγιος πατὴρ ἡμῶν Θεωνᾶς, κεκοσμημένος ὢν μὲ τὸ τῆς ἱερωσύνης ἀξίωμα, ἐκατοίκει εἰς τὸ μοναστήριον τοῦ Παντοκράτορος πρότερον. Ἐπειδὴ δὲ ἠγάπα τὴν ἡσυχαστικὴν ζωὴν περισσότερον ἀπὸ τὴν κοινοβιακήν, ἐσυνείθιζε νὰ παίρνῃ προσφορὰς καὶ ἄλλα τινὰ βρώσιμα, καὶ νὰ πηγαίνῃ εἰς ἀντάμωσιν τοῦ ἁγίου Ἰακώβου, ὁποῦ ἦτον περιβόητος ἐν μέσῳ ὅλων τῶν πατέρων τοῦ Ὄρους, διὰ τὰς μυστικὰς ἀποκαλύψεις, καὶ οὐράνια χαρίσματα, ὅπου ἠξιώθη νὰ λάβῃ παρὰ Θεοῦ· καὶ οὕτω συχνάκις πηγαίνων καὶ μανθάνων παρ' αὐτοῦ τὰ ὑψηλὰ τῆς μοναδικῆς φολοσοφίας μαθήματα, μὲ πολλὰς παρακλήσεις ἔγεινεν εἰς ὅλον τὸ ὕστερον καὶ μαθητής του καὶ συνοδία του, καὶ ἔχαιρε καὶ ἐσκίρτα, πῶς ἠξιώθη νὰ ἀκούῃ ἐκείνας τὰς θείας ὁπτασίας, ὅπου ἔβλεπε νοερῶς, καὶ νὰ ἔχῃ διδάσκαλον καὶ γέροντά του τοιοῦτον οὐράνιον ἄνθρωπον. Ἐπειδὴ δὲ καὶ ἀπὸ θείαν ἀποκάλυψιν κινούμενος ὁ θεῖος Ἰάκωβος, ἐβγῆκεν εἰς τὸν κόσμον, καὶ ἐπῆγε νὰ κατοικήσῃ κάτω εἰς τὴν Ναύπακτον, εἰς τὸ μοναστήριον τοῦ Προδρόμου, πλησίον εἰς τὸ χωρίον, ὅπου ὀνομάζεται Πρεβέστικα, συνηκολούθει μὲ αὐτὸν καὶ ὁ ἅγιος Θεωνᾶς, ἀλλὰ καὶ μὲ τοὺς ὀφθαλμούς του ἔβλεπε τὸ θεϊκὸν ἐκεῖνο φῶς, ὁποῦ παραδόξως ἐφαίνετο κάθε βράδυ ἐπάνω εἰς τὸ αὐτὸ μοναστήριον τοῦ Προδρόμου τρεῖς ἡμέρας, πρὶν νὰ φθάσῃ ἐκεῖ ὁ θεῖος Ἰάκωβος· τοῦτον τὸν Ἅγιον Θεωνᾶν ἔχων πιστότερον καὶ γνησιώτερον μαθητήν, ἀπέστειλεν ὁ διδάσκαλός του, καὶ τοῦ ἔλαβεν ἐνταλτήριον γράμμα ἀπὸ τὸν ἀρχιερέα τῆς Ἄρτης Ἀκάκιον, διὰ νὰ ἐξομολογῇ τοὺς εἰς αὐτὸν ἐρχομένους Χριστιανούς. Τρέχοντος δὲ τοῦ ἁγίου Ἰακώβου εἰς τὸ μαρτύριον, καὶ εἰς τὴν φυλακὴν τῶν Τρικάλων εὑρισκομένου δεδεμένου ἀπὸ τὸν Μπέην, οἱ μὲν ἄλλοι μαθηταὶ μικροψυχήσαντες ἐγύρισαν ὀπίσω εἰς τὸ μοναστήριον τοῦ Προδρόμου, ὁ δὲ ἅγιος Θεωνᾶς μὴ δειλιάσας, ἀλλ' ὑπὸ τῆς ἀγάπης καταφλεγόμενος, ἔμεινε συντροφεύων τὸν ἀγαπητόν του διδάσκαλον, καὶ συμπάσχων αὐτῷ, καὶ συναγωνιζόμενος εἰς τὰ τοῦ μαρτυρίου βασανιστήρια. Ὅθεν καὶ μίαν φορὰν αὐτὸς μὲ ἕνα ἄλλον μαθητὴν Μαρκιανὸν ὀνόματι, ἠρώτησαν τὸν ἅγιον Ἰάκωβον, ἐν τῇ φυλακῇ εὑρισκόμενον μετὰ τοῦ Διονυσίου καὶ τοῦ διακόνου Ἰακώβου, τῶν μαθητῶν του, λέγοντες «εἰπὲ ἡμῖν, Πάτερ, τί ἆρα μέλλει γενέσθαι μετὰ τὴν σὴν τελευτὴν τὸ κοινόβιον καὶ οἱ ἀδελφοί»· ὁ δὲ ὅσιος εἶπεν αὐτοῖς αἰνιγματωδῶς «ὅταν Θεοῦ εὐδοκίᾳ ἐλευθερωθῶμεν ἐκ τῶν χειρῶν τοῦ βασιλέως, μέλλομεν ἀπελθεῖν πρῶτον εἰς τὸν Πατριάρχην, ἔπειτα εἰς τὴν μεγάλην Βλαχίαν, καὶ ὅταν ἀπέλθωμεν ἐκεῖ, πλέον δὲν φοβούμεθα πειρασμούς· μετὰ ταῦτα θέλομεν ἔλθει ἡμεῖς ἐκ τῶν ἄνω καὶ σεῖς ἐκ τῶν κάτω, καὶ πλησίον τῆς Θεσσαλονίκης θέλομεν συναχθῆ, καὶ Θεοῦ συνεργοῦντος, εὑρεθήσεται μοναστήριον εἰς κατοίκησιν ἡμῶν καὶ γινόμεθα ἀχώριστοι καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι».

Τοῦτο τὸ αἴνιγμα ἦτο, ἀδελφοί μου, προφητεία ἐκείνου ὁποῦ ἔμελλε νὰ

γένῃ εἰς τὸ ὕστερον· εἶναι δὲ ἡ ἐξήγησις τοῦ αἰνίγματος αὕτη. Ὁ μὲν Πατριάρχης εἶναι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἡ δὲ μεγάλη Βλαχία εἶναι ὁ Παράδεισος, ὁποῦ εὑρίσκονται αἱ ψυχαὶ τῶν δικαίων· τὸ δὲ νὰ ἔλθουν αὐτοὶ ἀπὸ ἄνω καὶ τοῦτοι ἀπὸ κάτω, δηλοῖ ἀφοῦ ἐμαρτύρησεν ὁ ἅγιος Ἰάκωβος μετὰ τῶν μαθητῶν τοῦ Ἰακώβου καὶ Διονυσίου, ἀκούσαντες οἱ ἄλλοι μαθηταὶ τοῦ Ἁγίου, οἱ ζῶντες καὶ μάλιστα ὁ πατὴρ ἡμῶν Θεωνᾶς (οἵτινες ἀνεχώρησαν ἀπὸ τὴν Πρεβέστικαν, ὁποῦ εἴπομεν καὶ εὑρίσκοντο τότε εἰς τὸ ὄρος τοῦ Ἄθω ἐν τῷ μοναστηρίῳ τῆς Σιμόπετρας), ἀκούσαντες, λέγω, ἀπὸ ἕνα ἱερέα Νικόλαον ὀνόματι, ὄντα ἐκ τῆς Ἄρτης, ὅτι τὰ λείψανα τῶν ἁγίων ἦτο ἐνταφιασμένα πλησίον εἰς τὴν Ἀδριανούπολιν, ἔστειλαν καὶ ἄνοιξαν τοὺς τάφους αὐτῶν, καὶ ἔλαβον τὰ λείψανά των, καὶ λαμβάνοντες αὐτὰ ἀνεχώρησαν ἀπὸ τὸ Ὄρος, καὶ ἦλθον πλησίον τῆς Θεσσαλονίκης, δηλαδὴ εἰς τοῦτον τὸν τόπον ἐδῶ, καὶ εὑρόντες τὸ μοναστήριον τοῦτο τῆς ἁγίας Ἀναστασίας, ὁποῦ ἦτο τότε μονίδριον μικρότατον, παλαιότατον καὶ σεσαθρωμένον, ἀνήγειραν ἐκ βάθρων καὶ λίαν ἱκανὰ κελλία διὰ τοὺς ἀδελφούς, καὶ χάριτι Χριστοῦ ἐσυνάχθησαν ἕως ἑκατὸν πεντήκοντα ἀδελφοὶ καὶ διῆγον κοινοβιακὴν ζωήν. Ἐπάνω δὲ εἰς τὰς οἰκοδομὰς αὐτὰς καὶ ἐπάνω εἰς ὅλους τοὺς ἀδελφοὺς ἦτο ἡγούμενος καὶ προεστὼς ὁ ἅγιος Θεωνᾶς· καὶ τοῦτο ἐφανέρωνε τὸ αἴνιγμα· ὅτι οἱ μὲν μαθηταί του θέλουν ἔλθει ἀπὸ τὴν Ναύπακτον καὶ τὸ ἅγιον Ὄρος τῶν ὁποίων ἡ θέσις εἶναι κάτω καὶ χαμηλή, τὰ δὲ λείψανα τῶν ἁγίων ἀπὸ τὴν Ἀδριανούπολιν τῆς ὁποίας ἡ τοποθεσία εἶναι ἐπάνω, καὶ οὕτω μέλλουν νὰ συναχθοῦν εἰς τοῦτο τὸ μοναστήριον καὶ νὰ μένουν ἀχώριστοι, καὶ ἐκεῖνοι ὄντες ἐν τῇ ζωῇ καὶ αὐτοὶ κεκοιμημένοι καὶ εἰς ταύτην τὴν ζωὴν μὲ τὰ σώματα καὶ εἰς τὴν ἄλλην ζωὴν μὲ τὰς ψυχάς, ὅπερ καὶ ἐγένετο.

Τοῦτον τὸν ὅσιον Θεωνᾶν ἀφῆκε διάδοχον καὶ προεστῶτα εἰς τοὺς ἄλλους του μαθητὰς ὁ θεῖος Ἰάκωβος, καθὼς φαίνεται ἀπὸ τὴν ἐπιστολήν, ὁποῦ ἐν τῷ τέλει τῆς ζωῆς του ἔστειλεν εἰς αὐτούς, εἰς τὴν ὁποίαν ὕστερον ἀπὸ ὅλα τοῖς γράφει οὕτως· «νὰ ὑποτάσεσθε δὲ εἰς τὸν παπᾶν Θεωνᾶν, καθὼς καὶ εἰς »ἐμὲ τὸν ἴδιον, καὶ τοὺς λογισμούς σας εἰς αὐτὸν νὰ ἐξομολογῆσθε».

Αὐτὰ τὰ λόγια, ἀγκαλὰ καὶ ὀλίγα, ὅμως εἶναι ἀρκετὰ νὰ μᾶς φανερώσουν, πῶς ὁ ἅγιος Θεωνᾶς ἦτο ἰσοστάσιος μὲ τὸν διδάκαλόν του εἰς τὴν ἀρετήν· διὰ τοῦτο καὶ ὄχι ἄλλον τινά, ἀλλὰ αὐτὸν μόνον ἄφησεν ἐπιστάτην καὶ ἡγούμενον εἰς τὴν ποίμνην τῶν μαθητῶν του, καὶ τοὺς παραγγέλλει ὅτι νὰ τὸν εὐλαβοῦνται ὡς αὐτὸν τὸν ἴδιον· καὶ ἔχοντες τὸν Θεωνᾶν νὰ νομίζουν, ὅτι ἔχουν τὸν Ἰάκωβον ὡς εἰκόνα ἐκείνου καὶ ἔκτυπον. Φαίνεται δὲ εἰς τὸν αὐτὸν βίον τοῦ ἁγίου Ἰακώβου, ὅτι ἕνας ἱερομόναχος, Βαρλαὰμ καλούμενος, ἀσκητεύων μετὰ τῶν μαθητῶν του, ἐπειδὴ καὶ παρήκουσε μίαν φορὰν τοῦ Καθηγουμένου τῆς μονῆς ταύτης, (ὁ ὁποῖος συμπεραίνεται νὰ ἦτον ὁ ἅγιος Θεωνᾶς) ἐδαιμονίσθη, καὶ τόσον δεινῶς τὸν ἐβασάνιζε τὸ δαιμόνιον, ὥστε ὁποῦ τὸν ἐσπάραττεν ἕως τριάκοντα φοραῖς τὸ ἡμερονύκτιον, καὶ τὸν ἐκύλιε κατὰ γῆς ἀφρίζοντα· τοῦτο δὲ ἰδόντες οἱ ἀδελφοὶ ἔδεσαν αὐτοῦ χεῖρας καὶ πόδας καὶ ἐπρόσμεναν, ἕως νὰ ἔλθῃ ὁ ἡγούμενος ἀπὸ Θεσ-

σαλονίκην, δηλαδὴ ὁ ὅσιος Θεωνᾶς, ὅστις, ἀφοῦ ἦλθε καὶ ἔμαθε τὸ γενόμενον, ἔκαμεν ἁγιασμὸν μὲ τὸ λείψανον τοῦ ἁγίου Ἰακώβου, καὶ ποτίσας τὸν ἀσθενῆ ἐκ τοῦ ἁγιασμοῦ, ἐποίησεν αὐτὸν ὑγιῆ μὲ τὴν χάριν τοῦ Θεοῦ, καὶ μὲ τὴν πρεσβείαν τοῦ διδασκάλου του. Ἔζη δὲ ὁ ἅγιος Θεωνᾶς εἰς τὸ χιλιοστὸν πεντακοσιοστὸν εἰκοστὸν πέμπτον (1525) ἔτος μετὰ Χριστοῦ.

Ἀφοῦ δὲ ἐστερέωσε καλῶς τοῦτο τὸ κοινόβιον, καὶ κατὰ τὸν τύπον καὶ τὰ ἀσκητικὰ τοῦ μεγάλου Βασιλείου, ἐρρύθμισε καὶ ἐκανόνισε τοὺς μαθητάς του νὰ πολιτεύωνται, ἔκτισε τὸ ἀσκητήριον τοῦτο ὁποῦ βλέπομεν, καὶ ἀναχωρῶν ἀπὸ τὸ μοναστήριον κατὰ καιρούς, ἡσύχαζεν ἐκεῖ μόνος, μόνῳ Θεῷ προσευχόμενος· καὶ πάλιν συνήρχετο μὲ τοὺς μαθητάς του, παρηγορῶν αὐτοὺς πολλάκις μὲ τὴν θείαν διδασκαλίαν του, καὶ στηρίζων αὐτοὺς εἰς τοὺς ἀγῶνας τοῦ μοναχικοῦ πολιτεύματος· καὶ ἐπειδὴ δύω εἶναι αἱ πρῶται καὶ μεγάλαι ἐντολαί, ἤγουν τό: «ἀγαπήσεις Κύριον »τὸν Θεόν σου ἐξ ὅλης τῆς ψυχῆς σου,καὶ τὸν πλησίον σου ὡς ἑαυτόν,» ἐφύλαξε ταύτας καὶ ὁ ἅγιος Θεωνᾶς καὶ τὸ μὲν ἀσκητήριον, ὁποῦ ἔκτισε, καὶ ἐκεῖ εὑρισκόμενος συνωμίλει μὲ τὸν Θεόν, καὶ εἰς τὴν ἀγάπην αὐτοῦ ἀνεφλέγετο, εἶναι ἀπόδειξις, ὅτι ἠγάπησε τὸν Θεὸν ἐξ ὅλης ψυχῆς του, καὶ ἐξ ὅλης τῆς καρδίας του, καὶ ἐξ ὅλης τῆς ἰσχύος του, καὶ ἐξ ὅλης τῆς διανοίας του· τὸ δὲ μοναστήριον τοῦτο, ὁποῦ ἔκτισε, καὶ διὰ μέσου αὐτοῦ ἔσωσε τόσας ἀναριθμήτους σχεδὸν ψυχάς, εἶναι ἀπόδειξις ζωντανή, ὅτι ἠγάπησε καὶ τὸν πλησίον, καὶ ὅτι φυλάξας ταύτας τὰς δύω ἐντολάς, ἐν αἷς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται, ἔφθασεν εἰς τὰ μέτρα τῆς τελειότητος. Ὅταν δὲ ἔγινεν Ἀρχιερεὺς τῆς Θεσσαλονίκης καὶ ὅλης τῆς Θετταλίας, τίς δύναται νὰ διηγηθῇ τοὺς ἀγῶνας ὁποῦ ἔκαμνεν ὁ μακάριος; ἐπρόσθετε νηστείαν ἐπάνω εἰς τὴν νηστείαν, ἀγρυπνίαν ἐπάνω εἰς τὴν ἀγρυπνίαν, προσευχὴν ἐπάνω εἰς τὴν προσευχήν, τοῖς πᾶσι πάντα ἐγίνετο κατὰ τὸν Ἀπόστολον, μόνον διὰ νὰ κερδήσῃ πάντας τοὺς ἐμπιστευθέντας αὐτῷ χριστιανούς, καὶ νὰ φυλάξῃ τὰ ποίμνιά του ἀπὸ τὰς ἐπιβουλὰς τῶν αἰσθητῶν λύκων καὶ νοητῶν, ὡς ἀληθινὸς ποιμήν, καὶ τοῦ Ἀρχιποιμένος Χριστοῦ μαθητὴς γνησιώτατος· ἀλλὰ τί ταῦτα λέγω; καὶ ἀφίνω τὸ ὑψηλότερον, καὶ εἰς τὸ νὰ ἀποδείξῃ τὴν ἁγιότητα τοῦ ὁσίου πατρός μας δραστικώτατον ἐπιχείρημα; ἂν, καθ' ὑπόθεσιν, ἀδελφοὶ χριστιανοί, δὲν εἴχαμεν καμμίαν ἀπόδειξιν ἄλλην ἢ μαρτυρίαν, ὅτι ὁ Θεωνᾶς εἶναι ἅγιος, αὐτὴ μόνη ἡ δόξα ὁποῦ τοῦ ἔκαμεν ὁ Θεὸς ὁ ἴδιος καὶ μετὰ θάνατον ἀπέδειξε τὸ λείψανόν του σῶον καὶ ὁλόκληρον ὑπὲρ τοὺς ὅρους τῆς φύσεως, ὡς τὸ βλέπομεν, λαμπρὸν μὲ τὸν κροκοβαφῆ χρωματισμόν, μεμυρισμένον μὲ εὐωδίαν πνευματικήν, καὶ θαύματα ἐνεργοῦν εἰς τοὺς μετὰ πίστεως αὐτὸν ἐπεκαλουμένους· αὐτή, λέγω, μοναχὴ ἡ δόξα καὶ ἡ τιμή, εἶναι ἀρκετὴ νὰ ἀποδείξῃ τὸν Θεώνᾶν, ὅτι τῇ ἀληθείᾳ εἶναι ἅγιος, ὅτι εὐηρέστησε τῷ Θεῷ, καὶ ἔζησε μίαν ζωὴν ἀγγελικήν· διότι ἀδύνατον εἶναι κατὰ ἄλλον τρόπον νὰ γένῃ τινὰς ἅγιον λείψανον, ἀνίσως πρότερον δὲν καθαρισθῇ ἀπὸ ὅλα τὰ πάθη ψυχικὰ καὶ σωματικά, ἂν δὲν γίνῃ κατοικητήριον τοῦ Ἁγίου Πνεύματος, καὶ ἂν ἡ θεία χάρις δὲν ἐνωθῇ καὶ τρόπον τινὰ ζυμωθῇ μὲ τὴν καρδίαν του, μὲ τὸν ἐγκέφαλόν του καὶ μὲ ὅλα τὰ κόκκολά του καὶ ἁρμονίας· καὶ καθὼς ἀπὸ τὸν

καρπὸν καταλαμβάνομεν ποῖον εἶναι τὸ δένδρον· ὁμοίως ἀπὸ τὴν ἁγιότητα τοῦ λειψάνου τοῦ Θεωνᾶ καταλαμβάνομεν, ὅτι καὶ αὐτὸς ἐστάθη ἕνας ἅγιος ἰσοστάσιος τῶν παλαιῶν ἐκείνων Ἁγίων, καὶ ἔζησε ζωὴν ἁγίαν καὶ ὑπεράνθρωπον. Αὐτὴ ἡ τιμὴ καὶ τὸ ἐγκώμιον, ὁποῦ πρακτικῶς καὶ ψηλαφητῶς τοῦ ἔκαμεν ἕνας Θεός, αὐτὸ ἀξίζει ἀντὶ δι' ὅλα τὰ ἐγκώμια, ὁποῦ ἤθελον τοῦ κάμῃ ὅλου τοῦ κόσμου οἱ θαυμαστότεροι ρήτορες.

Τοῦτο τὸ ἱερὸν καὶ σεβάσμιον λείψανον, εὑρίσκεται ἔτι καὶ νῦν σῶον καὶ ὁλόκληρον, ἐν τῇ ἱερᾷ Μονῇ τῆς Ἁγίας Ἀναστασίας, εὐωδίαν ἀποπνέον ἄρρητον, θαύματά τε προχέον καὶ ἰάματα παρέχον τοῖς μετὰ πίστεως τῇ σορῷ αὐτοῦ προσερχομένοις. Τὴν δὲ μνήμην αὐτοῦ τελοῦσιν οἱ σεβάσμιοι πατέρες αὐτῆς τῆς Μονῆς, τῇ τετάρτῃ Κυριακῇ τῶν νηστειῶν, ἀγρυπνίαν ἐπιτελοῦντες καὶ πανήγυριν, ἐν ᾗ συνέρχονται οἱ ἀπὸ τὰ πέριξ Χριστιανοί, κατὰ μίμησιν τοῦ τῆς δευτέρας Κυριακῆς ἑορταζομένου ἁγίου Γρηγορίου τοῦ Παλαμᾶ, οὗ οὐχὶ μόνον εἰς τὸν θρόνον ὑπῆρξε διάδοχος, ἀλλὰ καὶ εἰς τὴν ἀρετὴν καὶ ἁγιότητα ἐφάμιλλος ὁ μακάριος Θεωνᾶς.

Τοῦτον λοιπὸν ἂς μιμηθῶμεν καὶ ἡμεῖς ἀδελφοί· τούτου τὴν ἐνάρετον ζωὴν ἂς ζηλώσωμεν, τὰ τέκνα πρέπει νὰ ὁμοιάζωσι τοῦ πατρός των, καὶ οἱ μαθηταὶ τοῦ διδασκάλου των, καὶ τὰ πρόβατα πρέπει νὰ ἀκολουθῶσιν εἰς τὸν ποιμένα των. Ὁ ἅγιος Θεωνᾶς εἶναι πατήρ μας, εἶναι διδάσκαλός μας, εἶναι ποιμένας μας, καὶ ἡμεῖς εἴμεθα τέκνα του, μαθηταί του, καὶ πρόβατά του· ὅθεν χρέος ἔχομεν νὰ ἀκολουθήσωμεν τὴν πολιτείαν του, διὰ νὰ ἔχωμεν ὁμοιότητα μὲ αὐτόν· ἐπειδὴ ἂν δὲν τὸν ὁμοιάζωμεν, βέβαια μάτην καυχώμεθα, πῶς τὸν ἔχομεν κτίτορα καὶ ποιμένα μας, ἀλλ' οὔτε αὐτὸς πλέον μᾶς γνωρίζῃ, ἂν εἴμεθα τέκνα του καὶ μαθηταί του, ἂν φυλάττωμεν τὴν τάξιν τοῦ κοινοβίου του ἀπαρασάλευτον, καὶ μάλιστα τῆς Ἐκκλησιαστικῆς ἀκολουθίας· ἂς ἀγαπήσωμεν τὴν ἀκτημοσύνην, καὶ ἂς μισήσωμεν τὴν φιλαργυρίαν, ἂς ἀποστραφῶμεν τὴν ἀγάπην τῶν συγγενῶν μας, καὶ ἂς ποθήσωμεν ὑπὲρ αὐτοὺς τὸν Χριστόν, ὅτι λέγει· «ὁ φιλῶν πατέρα, ἢ μητέρα, ἢ υἱόν, ἢ θυγατέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος.» Ἂς φυλάττωμεν παρθενίαν καὶ σωφροσύνην, ἀπέχοντες μακρὰν ἀπὸ τὰ πρόσωπα ἐκεῖνα ὁποῦ μᾶς σκανδαλίζουσι, καὶ ἐν γένει ἂς φυλάττωμεν ὅλας τὰς ὑποσχέσεις ὁποῦ ἐδώκαμεν εἰς τὸν Θεόν, ὅταν ἐλάβομεν τὸ βάπτισμα καὶ τὸ μοναχικὸν σχῆμα· ἵνα διὰ πρεσβειῶν τοῦ ἁγίου Θεωνᾶ, Ἰακώβου τε καὶ τῶν μαθητῶν αὐτοῦ, ἀξιωθῶμεν τῆς βασιλείας τῶν οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. (1)

***Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν ΖΩΣΙΜΑ τοῦ κηδεύσαντος τὴν ὁσίαν Μαρίαν τὴν Αἰγυπτίαν.***

»Ζῶσαν προπέμψας Ζωσιμᾶς τὴν Μαρίαν,
»Θανοῦσαν εὗρεν. ἀλλὰ νῦν ζῶσιν ἅμα.

**Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς.**

(1) Ἐκ τοῦ νέου Ἐκλογίου ἐρανίσθημεν. Σ. Ε.

*Τῷ αὐτῷ μηνὶ Ε', μνήμη τῶν ἁγίων μαρτύρων ΚΛΑΥΔΙΑΝΟΥ* (1) *καὶ τῶν σὺν αὐτῷ ΔΙΟΔΩΡΟΥ, ΟΥΙΚΤΟΡΟΣ, ΟΥΙΚΤΩΡΙΝΟΥ, ΠΑΠΠΙΟΥ, ΣΕΡΑΠΙΩΝΟΣ, καὶ ΝΙΚΗΦΟΡΟΥ.*

»Σπεύδεις ὀκλάζων Κλαυδιανὲ πρὸς γόνυ,
»Τομῇ κεφαλῆς πρὸς Θεοῦ δραμεῖν γόνυ.
»Πέμπτῃ Κλαυδιανοῦ κεφαλὴν τάμε χεὶρ φονόεσσα.

*Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν ΘΕΟΔΩΡΑΣ τῆς ἐν Θεσσαλονίκῃ.*

»Θεσσαλονίκη σχοῦσα καλὰ μυρία,
»Καὶ Θεοδώραν πλοῦτον ἄσυλον φέρεις.

Αὕτη ἡ ὁσία Θεοδώρα, ἐπειδὴ ἐκ νεαρᾶς ἡλικίας ἠγάπησε τὸν Χριστόν, διὰ τοῦτο ἠρνήθη τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ, καὶ πορευθεῖσα εἰς κοινόβιον ἔγεινε μοναχή. Ὅθεν ἀγωνισθεῖσα, κατώρθωσεν ὅλας τὰς ἀρετάς. Τόσην δὲ ὑπερβολικὴν ὑπακοὴν καὶ τιμὴν προσέφερεν ἡ μακαρία εἰς ὅλας τὰς ἀδελφάς, καὶ μάλιστα εἰς τὴν προεστῶσαν καὶ ἡγουμένην, ὥστε καὶ μετὰ θάνατον ἐδείχθη αὕτη ὡς ἂν ἦτο ζωντανή. Ὅθεν ἐπειδὴ ἐφύλαξε τὴν ζωήν της καθαρὰν καὶ ἀκηλίδωτον, διὰ τοῦτο ἀφῆκεν ἑαυτὴν εἰς τὰς λοιπὰς ἀδελφὰς τοῦ μοναστηρίου στήλην ζωντανήν, καὶ παράδειγμα ἔμψυχον τῆς ἀρετῆς. Μετὰ ὀλίγον δὲ καιρὸν ἀφ' οὗ ἀπέθανεν ἡ Θεοδώρα, ἀπέθανε καὶ ἡ ἡγουμένη, ἡ ὁποία καὶ αὐτὴ ἔζησε μὲ καθαρὰν καὶ πνευματικὴν ζωήν. Διὰ τοῦτο ἔγεινε πολλὴ συρροὴ τοῦ λαοῦ εἰς τὸν ἐνταφιασμόν της, καὶ ἀρχόντων ὀνομαστῶν. Ὅτε λοιπὸν συνῆλθε πλῆθος μοναχῶν καὶ ἐπισήμων ἀνδρῶν, ἠνοίχθη ὁ τάφος, μέσα εἰς τὸν ὁποῖον ἦτο τὸ λείψανον τῆς ὁσίας ταύτης Θεοδώρας πρὸ χρόνων πολλῶν, διὰ νὰ τεθῇ εἰς αὐτὸν καὶ τὸ λείψανον τῆς ἡγουμένης. Τότε λοιπὸν ἔγεινεν ἓν θαῦμα ἐξαίσιον, τὸ ὁποῖον φέρει μὲν ἔκπληξιν εἰς τοὺς βλέποντας, φέρει δὲ καὶ κατάνυξιν εἰς τοὺς ἀκούοντας. Ὁ τόπος ἐν ᾧ εὑρίσκετο ὁ τάφος τῆς ὁσίας ἦτο ὑψηλὸς καὶ ἐπιτήδειος εἰς τὸ νὰ βλέπωσι μέσα ὅλοι οἱ παρεστῶτες εἰς αὐτόν. Ὅθεν καθ' ὃν καιρὸν ἔβαλον τὸ λείψανον τῆς ἡγουμένης μέσα εἰς τὸν τάφον, τότε ὦ τοῦ θαύματος! εἶδον ὅλοι οἱ παρεστῶτες, ὅτι ἡ πρὸ πολλοῦ νεκρὰ Θεοδώρα, ὡς νὰ ἦτο ζωντανή, ἔσφιγξε καὶ περιέστειλεν ἑαυτὴν εἰς ἓν μέρος τοῦ τάφου, καὶ ἔδωκε τόπον διὰ νὰ ἐνταφιασθῇ ἡ πνευματική της μήτηρ. Τοῦτο τὸ ἐξαίσιον θαῦμα βλέποντες ὅλοι οἱ παρευρεθέντες, ἐφώναζον ὁμοφώνως, τό, Κύριε ἐλέησον. Ἀπὸ τότε δὲ καὶ ἕως τῆς σήμερον, πολλὰ σημεῖα ἐποίησεν ὁ Θεὸς διὰ τῆς ὁσίας ταύτης Θεοδώρας δαιμονισμένους ἠλευθέρωσε, τυφλοὺς ὠμμάτωσε, καὶ ἀσθενεῖς ἀναριθμήτους ὑγιεῖς ἐποίησεν.

(1) Ἐν δὲ τοῖς Μηναίοις γράφεται Κλαυδίου.

***Μνήμη τῶν ἁγίων μαρτύρων ΘΕΟΔΩΡΑΣ καὶ ΔΙΔΥΜΟΥ.***

»Σὺν τῇ συνάθλῳ, Δίδυμε, τιμηθεὶς φλέγῃ,
»Φέρων σὺν αὐτῇ δίδυμον τιμωρίαν.

Κατὰ τοὺς χρόνους τῶν βασιλέων Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, ἐν ἔτει σγέ. (295), καὶ ἡγεμόνος τῆς Ἀλεξανδρείας Εὐστρατίου διωγμὸς ἐκινεῖτο κατὰ τῶν χριστιανῶν. Τότε πιασθεῖσα ἡ παρθένος αὕτη Θεοδώρα καὶ ὁμολογήσασα Θεὸν τὸν Χριστὸν ἐνώπιον πάντων, δέρεται καὶ εἰς φυλακὴν βάλλεται· ἀφ' οὗ δὲ παρῆλθον τινὲς ἡμέραι, πάλιν ἐξέβαλον τὴν ἁγίαν ἀπὸ τὴν φυλακὴν καὶ ἀφοῦ τὴν ἔκριναν, τὴν ἔκλεισαν εἰς πορνοστάσιον. Ὁ δὲ ἡγεμὼν ἔστειλε νέους ἀκολάστους διὰ νὰ τὴν ἀτιμάσωσι, καὶ οὗτοι μὲν ὥρμων ὡς ἄλογα θηλυμανῆ κατὰ τῆς ἁγίας, ἐκείνη δὲ ἐδέετο τοῦ Θεοῦ νὰ τὴν διαφυλάξῃ. Ὅθεν ᾠκονόμησεν ἡ θεία του πρόνοια καὶ εὑρέθη ἐκεῖ ἐνδοξότατός τις ἄρχων, ὀνόματι Δίδυμος, ὁ ὁποῖος ἐνδυθεὶς ἐνδύματα στρατιωτικά, καὶ ἐκδυθεὶς τὰ ἐδικά του τὰ ἔδωκεν εἰς τὴν παρθένον καὶ τὰ ἐφόρεσεν, ὁμοῦ καὶ τὰ ὅπλα του. Ταῦτα λοιπὸν ἐνδυθεῖσα ἡ παρθένος, καθὼς ὁ Δίδυμος τὴν ἐσυμβούλευσεν, ἐκβῆκεν ἀπὸ τὸ πορνοστάσιον, καὶ οὕτως ἐφυλάχθη ἄμωμος καὶ καθαρά, εὐχαριστοῦσα τὸν Θεόν. Εἰς δὲ τῶν ἀσελγῶν ἐκείνων ἐμβὰς εἰς τὸ πορνοστάσιον διὰ τὴν παρθένον, καὶ εὑρὼν τὸν Δίδυμον καθεζόμενον ἀντ' ἐκείνης, ἔμεινεν ἐξεστηκώς, καὶ ἐσυλλογίζετο καθ' ἑαυτὸν λέγων· ἆρά γε ὁ Χριστὸς δύναται νὰ μεταβάλῃ τὰς παρθένους γυναῖκας εἰς ἄνδρας; ἡμεῖς εἴδομεν, ὅτι ὁ εἰσελθὼν Δίδυμος, ὅστις ἦτο ἐνδεδυμένος τὰ στρατιωτικὰ ἐκβῆκεν ἔξω· ἡ δὲ παρθένος, ἥτις ἦτο ἐδῶ, ποῦ εἶναι τώρα; ἐγὼ μὲν ὅτε ἤκουον, ὅτι ὁ Χριστὸς μετέβαλε τὸ νερὸν εἰς οἶνον, ἐνόμιζον τοῦτο μῦθον καὶ ψεῦδος, ἀλλὰ τώρα βλέπω μεγαλήτερον θαῦμα. Βλέπων δὲ ὁ Δίδυμος αὐτὸν ταῦτα συλλογιζόμενον καὶ ἀποροῦντα, τῷ ἐφανέρωσε τὴν ὑπόθεσιν, καὶ ὅτι αὐτὸς ἔπραξε τοῦτο τὸ δρᾶμα· καὶ ὅτι ἐὰν θέλῃ, ἂς εἰπῇ τοῦτο εἰς τὸν ἄρχοντα, καὶ ἂς προσθέσῃ ἀκόμη, ὅτι ὁ τὴν παρθένον μετασχηματίσας καὶ λυτρώσας Δίδυμος, αὐτὸς προσμένει ἐκεῖ εἰς τὸ πορνοστάσιον.

Ταῦτα δὲ εὐθὺς ἅμα ἀνήγγειλεν ὁ ἀκόλαστος ἐκεῖνος εἰς τὸν ἄρχοντα, εὐθὺς παρέστησαν τὸν Δίδυμον εἰς τὸ κριτήριον τοῦ ἄρχοντος, ὅστις ἠρώτησεν αὐτὸν λέγων, πῶς ἐτόλμησες νὰ κάμῃς τοιοῦτον πρᾶγμα; ὁ ἅγιος ἀπεκρίθη, ἐπειδὴ εἶμαι χριστιανὸς καὶ ἠξεύρω νὰ πραγματεύωμαι καλῶς, διὰ τοῦτο μὲ μίαν καὶ τὴν αὐτὴν ὑπόθεσιν ἐπροξένησα εἰς τὸν ἑαυτόν μου δύο στεφάνους, διότι καὶ τὴν παρθένον ἐλύτρωσα ἀπὸ τὰς ἀθέους χεῖράς σας, καὶ καθαρὰν

αὐτὴν διεφύλαξα, καὶ διότι καὶ ἐγὼ ἐφανέρωσα εἰς σᾶς τὸν ἑαυτόν μου, ὅτι εἶμαι χριστιανός. Ὁ ἄρχων εἶπε· διὰ μὲν τὴν τόλμην σου ταύτην, προστάζω νὰ κοπῇ ἡ κεφαλή σου, διὰ δὲ τὸ ὅτι πιστεύεις εἰς τὸν Χριστὸν καὶ δὲν θέλεις νὰ θυσιάσῃς εἰς τοὺς Θεούς, προστάζω νὰ κατακαῇ τὸ σῶμά σου διὰ τοῦ πυρός.

Ὁ δὲ ἅγιος μετὰ χαρᾶς ἀνεβόησεν, εὐλογητὸς ὁ Θεός μου, ὁ μὴ παραβλέψας τὴν ἐπίνοιαν καὶ τὴν μηχανήν, τὴν ὁποίαν ἐφεῦρον. Ὅθεν ἀπελθὼν ὁ τοῦ Χριστοῦ ἀθλητὴς εἰς τὸν τόπον τῆς καταδίκης προσηυχήθη, καὶ οὕτως ἀπεκεφαλίσθη· καὶ ἡ μὲν ἁγία αὐτοῦ ψυχὴ ἀνέβη εἰς τὰ οὐράνια, καθὼς τινὲς χριστιανοὶ εἶδον αὐτὴν καὶ τὸ ἐμαρτύρησαν, τὸ δὲ σῶμά του ἐρρίφθη εἰς τὴν πυράν. Τότε φιλόχριστοι τινὲς συνάξαντες τὰ τίμια λείψανα, ὅσα ἔμειναν ἀπὸ τὴν πυράν, ἐνεταφίασαν αὐτὰ εἰς ἔνδοξον τόπον. Ὁμοίως δὲ καὶ ἡ παρθένος Θεοδώρα, πάλιν πιασθεῖσα. ἐκάη καὶ αὐτὴ διὰ πυρός, καὶ οὕτω τελειώσασα τὸν τοῦ μαρτυρίου δρόμον ἔλαβε παρὰ Κυρίου στέφανον ἄφθαρτον.

*Ὁ ἅγιος μάρτυς ΘΕΡΜΗΣ πυρὶ τελειοῦται.*

»Θέρμην ἔρωτος ἐνθέου Θέρμος φέρων,
»Θέρμην πυρὸς φλέγοντος ὡς ψύξιν κρίνει.

*Αἱ ἅγιαι δύο μάρτυρες κυρία καὶ δούλη ξίφει τελειοῦνται.*

»Ἐχρῆν ἔπεσθαι κυρίᾳ καὶ δουλίδα,
»Ἐκ γῆς ἰοῦσῃ πρὸς Θεὸν διὰ ξίφους.

*Ὁ ἅγιος μάρτυς ΠΟΜΠΗΙΟΣ ξίφει τελειοῦται.*

»Ὡς ζῶν πρόβατον, Πομπήϊε, Κυρίου,
»Χέεις, ἀμελχθεὶς αὐχένα ξίφει, γάλα.

*Ὁ ἅγιος μάρτυς ΖΗΝΩΝ πίσσαν χρισθείς, καὶ εἰς πῦρ βληθείς, καὶ δόρατι ἔνδον τῆς πυρᾶς τρωθείς, τελειοῦται.*

»Ἆθλος τριπλοῦς Ζήνωνι, πίσσα, πῦρ, δόρυ,
»Οἶμαι, δι' ἣν ἔπασχε ταῦτα Τριάδα.

*Οἱ ἅγιοι μάρτυρες ΜΑΞΙΜΟΣ καὶ ΤΕΡΕΝΤΙΟΣ ξίφει τελειοῦνται.*

»Ἴσου μετέσχον καὶ στέφους ὡς καὶ τέλος,
»Τερέντιος, Μάξιμος, οἷς τομὴ τέλος.

*Αἱ ἅγιαι πέντε κόραι αἱ ἀπὸ Λέσβου ξίφει τελειοῦνται.*

»Ἀθληφόρους τίθησι Λεσβίας κόρας,
»Μίαν δύο τρεῖς τέσσαρας πέντε, ξίφος.

*Ὁ ἅγιος νεομάρτυς* ***ΓΕΩΡΓΙΟΣ****, ὁ ἀθλήσας ἐν τῇ νέᾳ Ἐφέσῳ κατὰ τὸ ἔτος ᾳωά.* (1801), *ξίφει τελειοῦται.* (1).

»Τομὴν ὑποίσας, ὦ Γεώργιε, ξίφους,
»Χαρᾷ ἀπέπτης εἰς χαρᾶς τὸ χωρίον.

Οὗτος ὁ νεομάρτυς τοῦ Χριστοῦ Γεώργιος, ἦτον γέννημα καὶ θρέμμα τῆς νέας Ἐφέσου, τῆς κοινῶς λεγομένης Κουσάντασι. Ὁ πατήρ του ὠνομάζετο Νικόλαος Λάγλους· ἐλθὼν δὲ εἰς ἡλικίαν, ἔλαβε γυναῖκα νόμιμον, καὶ ἔκαμε καὶ τέκνα ἐξ αὐτῆς· ἔζη ὅμως μὲ πολλὴν ἀταξίαν, ἐν κραιπάλῃ καὶ μέθῃ κυλιόμενος· ὅθεν καὶ ὢν εἰς ἡλικίαν τεσσαράκοντα δύω χρόνων, εἰς τοὺς χιλίους ἑπτακοσίους ἐννενήκοντα ὀκτώ, κατὰ τὸν Ἰούλιον μῆνα, ἄνευ οὐδεμιᾶς βίας ἢ ἄλλης τινὸς παρακινήσεως, ἀλλὰ μόνον ἀπὸ τὸν τῆς μέθης σκοτισμόν, ἐπῆγεν εἰς τὸν Κριτήν, καὶ ἐπὶ παρουσίᾳ πολλῶν, ἠρνήθη, φεῦ! τὴν πίστιν τοῦ Χριστοῦ, καὶ ἐδέχθη τὴν ἐναγῆ θρησκείαν τῶν Ἀγαρηνῶν. Εὑρισκόμενος δὲ ἀκόμη μὲ μόνον τὸ σαλαβάτι, πρὶν λάβῃ καὶ τὴν βδελυκτὴν περιτομήν, ἀνανήψας ἀπὸ τὴν μέθην, ἦλθεν εἰς τὸν ἑαυτόν του, καὶ ἐλυπήθη πολὺ διὰ τὴν ἀσεβῆ ὁμολογίαν του, ἣν ἔκαμε, καὶ εὑρίσκων εὐκαιρίαν, ἔφυγεν ἐκεῖθεν, καὶ ἐπῆγεν εἰς τὴν Σάμον. Κατ' ἐκείνας τὰς ἡμέρας ἐκτίζετο ἡ Ἐκκλησία τῶν χριστιανῶν, μὲ βασιλικὴν ἄδειαν, τὸ ὁποῖον ἔργον εἰς τὰς καρδίας τῶν ἀσεβῶν, εἶναι πάντῃ ἀπαράδεκτον· ὅθεν θέλοντες ἀπὸ τὸν φθόνον των νὰ τὴν χαλάσουν, ἔπλασαν ὅτι οἱ χριστιανοὶ ἐφόνευσαν αὐτόν, διότι ἠρνήθη τὴν πίστιν τοῦ Χριστοῦ, καὶ τὸν ἔβαλον ὑποκάτω εἰς τὰ θεμέλια, καὶ διὰ τοῦτο ἐχάθη ἐκεῖθεν· βλέποντες δὲ οἱ Δημογέροντες τὴν ἄλογον κίνησιν τῶν Ἀγαρηνῶν, καὶ τὴν πολλήν των ὁρμὴν καὶ ταραχήν, καὶ στοχαζόμενοι, πῶς ἔμελλον νὰ ὑπάγουν εἰς μάτην οἱ κόποι των καὶ τὰ ἔξοδά των, καὶ νὰ μείνουν εἰς τὸ ἑξῆς χωρὶς Ἐκκλησίαν, ἔδραμον εἰς τὸν Κριτήν, καὶ παρόντων καὶ τῶν Ἀγάδων τοῦ τόπου, τοὺς ἐβεβαίωσαν, ὅτι ὁ ἄνθρωπος ὁποῦ ζητεῖτε εἶναι εἰς τὴν Σάμον, καὶ ἐὰν θέλητε, στείλετε ἐδικούς σας ἀνθρώπους νὰ τὸν ἰδοῦν, διὰ νὰ πληροφορηθῆτε. Καὶ οὕτως ἔγινεν· ἔστειλαν, τὸν εὗρον, τὸν ἔφερον, τὸν ἔβαλον εἰς τὴν φυλακὴν καὶ εἰς τὰ σίδηρα· καὶ τέλος, μετὰ τρεῖς ἡμέρας τοῦ ἔκαμαν καὶ τὴν βδελυρὰν περιτομήν, ἤτοι τὸν ἐσουνέτευσαν, καὶ τάχα διὰ τιμὴν καὶ κυβέρνησιν τὸν ἔβαλον νεοκόρον εἰς ἓν τζαμί, καὶ ἐστάθη ἐκεῖ μερικὸν καιρόν. Ἀλλ' ἐπειδὴ καὶ ἡ συνείδησις πάντοτε τὸν ἔτυπτε διὰ τὴν ἄρνησιν τοῦ Χριστοῦ ὁποῦ

(1) Τὴν ἀκολουθίαν ἐπόνησε ὁ ἐν ἱερομονάχοις Νικηφόρος ὁ Χῖος, καὶ ὅρα εἰς τὸ νέον Λειμωνάριον σελ. 113. Τὸ δὲ μαρτύριον τοῦτο συνεγράφη, παρὰ τοῦ Πανοσιολογιωτάτου κ. Ἀθανασίου τοῦ Παρίου.

ἔκαμε, καὶ στοχαζόμενος τὸ κακὸν ὁποῦ ἔπαθεν, ἐμετανόησε, καὶ ἐζήτει νὰ εὕρῃ τρόπον νὰ φύγῃ ἀπὸ ἐκεῖ· ὅθεν μετὰ δέκα μῆνας, εὐκαιρίας τυχών, ἐχάθη ἀπὸ τὸν τόπον τελείως, χωρὶς νὰ λάβῃ τις εἴδησιν, καὶ πηγαίνων κρυφίως εἰς τὴν Σάμον, διέτριβε τὸν μεταξὺ καιρὸν πότε ἐκεῖ, καὶ πότε εἰς τὴν Πάτμον· καὶ ἐξομολογηθεὶς εἰς Πνευματικὸν Πατέρα, τὴν ἀνομίαν του, καὶ διορθωθεὶς ὡς ἔπρεπεν, ἔκλαιε πικρῶς, διάγων ἐν μετανοίᾳ καὶ συντριβῇ καρδίας. Ἐνθυμούμενος δὲ τὸ λόγιον τοῦ Κυρίου τὸ λέγον «ὅστις μὲ ἀρνήσηται »ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ »Πατρός μου τοῦ ἐν Οὐρανοῖς», ἀπεφάσισε νὰ παρουσιασθῇ, καὶ νὰ ὁμολογήσῃ τὸν Χριστόν, καὶ μὲ τὸ αἱμά του νὰ ἐξαλείψῃ τὴν ἁμαρτίαν του. Ὅθεν ἐπαρουσιάσθη εἰς τὸν Ἐξουσιαστὴν τῆς Σάμου, καὶ κηρύττων τὸν Χριστὸν Θεὸν ἀληθινόν, ἐξευτέλισε πολλὰ τὴν θρησκείαν των· ἐκεῖνος δὲ ἀκούσας ταῦτα, τὸν ἔστρωσεν εἰς τὸν δαρμόν, καὶ τοῦ ἔδωκε χιλίας ραβδιάς, καὶ μετὰ τοῦτο τὸν ἔρριψεν εἰς τὴν φυλακήν· ὕστερον μανθάνοντες αὐτὸ οἱ Δημογέροντες τῆς Σάμου, ἐπῆγαν εἰς τὸν Ἐξουσιαστήν, καὶ τὸν ἐκατάπεισαν μὲ ἄσπρα, καὶ τὸν εὔγαλαν ἀπὸ τὴν φυλακήν, καὶ τὸν ἐδίωξαν ἐκεῖθεν.

Ποίαις, τιμαῖς πρεπούσαις τιμήσωμεν, Ἀθανάσιον, καὶ Ἰωάσαφ, τοὺς μετεωρίτων προπάτορας, καὶ τῆς τῆδε μάνδρας κοσμήτορας, πάσης ἀρετῆς τοὺς ποδηγέτας· τὸν μέν, ἰσοπολιτείας ὡς ἐξάρχοντα, τὸν δέ, ὡς ἐν κοινοβίῳ ὑπερέχοντα, τοὺς ἴσους τὴν προθυμίαν ἴσους δὲ τὴν ἔφεσιν. Διὸ Χριστὸς καὶ τιμαῖς, ταῖς ἴσαις αὐτοὺς τιμᾷ, ὁ ἔχων τὸ μέγα ἔλεος. Ὅμοιον.

Ποίαις, ἀνταμειψώμεθα χάρισιν, Ἀθανάσιον, καὶ Ἰωάσαφ, τοὺς τῶν μοναστῶν ἀντιλήπτορας, καὶ θερμοὺς μιγάδων συλλήπτορας, καὶ κοινῶς ἁπάντων εὐεργέτας· τὸν μέν, ὡς Βασιλικαῖς σειραῖς ἐμπρέποντα· τὸν δέ, τοῦ παμβασιλέως ὡς θεράποντα, τοὺς ἀδελφὰ μὲν φρονοῦντας, ἀδελφὰ δὲ πράξαντας· οὗς ὁ Χριστὸς ὡς ἐν γῇ, τιμᾷ καὶ ἐν οὐρανοῖς, ὁ ἔχων τὸ μέγα ἔλεος. Δόξα, ἦχος πλ. β'.

Χριστοῦ τοὺς ὁπαδοὺς εὐφημήσωμεν ἅπαντες ἐν αἰνέσεσιν· ὅτι ταμίας τε, καὶ κτίτορας τούτους ἐλάχομεν, καὶ ταῖς ἁγίαις αὐτῶν νουθεσίαις, ἑπόμενοι διηνεκῶς, καταγγέλλειν ἕνα Θεὸν ἐν τρισὶ προσώποις μυούμεθα· ὃν δυσωπούσιν ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει τελούντων τὴν μνήμην αὐτῶν. Καὶ νῦν. Θεοτοκίον, ἢ τῆς Ἑορτῆς. Καὶ τὰ Ἀναγνώσματα. Σοφίας Σολομῶντος, τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ. (ὅρα σελ. 239).

Σοφίας Σολομῶντος, τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι. (ὅρα σελ. 239).

Σοφίας Σολομῶντος, τὸ Ἀναγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι. (ὅρα σελ. 240).

Εἰς τὴν Λιτήν. Ἰδιόμελα στιχ. ἦχος ά.

Τὸν ἰσάγγελον βίον πολιτευσάμενον, καὶ Κόσμου τὰς εὐπαθείας καλῶς ἀποσεισάμενον· δεῦτε πιστοὶ ὑμνήσωμεν, λέγοντες· χαίροις, ὁ στερρὸς ἐν πόνοις ἀσκήσεως, κατὰ τοὺς πρὸ σοῦ ἀσκήσαντας Πάτερ, χαίροις, ὁ Χριστὸν δοξάσας ἐπὶ τῆς γῆς, μιμησάμενος ἔργῳ τοὺς πάλαι, χαίροις, μοναζόντων τὸ καύχημα, καὶ τοῦ μετεώρου ἀγαλλίαμα.

Ἦχος β΄.

Ἀλογήσας τῶν κάτω, καὶ χαμερπῶν ὅσιε, καὶ ἀράμενος Σταυρόν, ἀποστολικῶς Χριστῷ ἠκολούθησας, καὶ ἐν τῷ ὄρει διαιτώμενος, ὡς ἐν Σιναίῳ Μωϋσῆς, Θεὸν ἰδεῖν κατηξίωσαι καὶ σύ, ὡς θεοπτίας γενόμενος ἄξιος, καὶ νῦν ἐν ταῖς σκηναῖς σὺν Ἰωάσαφ τῶν ὁσίων κατοικῶν Ἀθανάσιε, αἰτήσασθε ἡμῖν τὸ μέγα ἔλεος. Ἦχος δ΄.

Ἐπὶ τῆς γῆς βιώσας ὡς ἄϋλος, τὴν τῶν ἀΰλων ἔλαχες στάσιν, θουλαγαγῶν καὶ γὰρ τὸ σῶμά σου, ὑπέταττες ὅλον τῷ Πνεύματι σοφὲ Ἀθανάσιε· ὅθεν νῦν ὡς συνὼν ἀγγελικαῖς δυνάμεσι, τοῦ τρισσοῦ συμμέτοχος, φάους αὐτῆς γέγονας· ἐξ οὗ ἀπόμοιραν Μάκαρ, τοῖς σὲ ὑμνοῦσιν, ἄνωθεν καταπέμπων· τοῦ πρεσβεύειν πάντοτε μὴ διαλίπῃς, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Δόξα, ἦχος πλ. β΄.

Προορῶν Ἀθανάσιε τὰ πάντα συμβολικῶς, τόπον καταλαμβάνεις ἀναχωρητικόν, πέτραν εἰς αἰθέριον ὕψος ἠρμένην, ἐν ταύτῃ δὲ ἀνελθών, τῷ ἐν Θαβὼρ μεταμορφωθέντι, ναὸν ἀνήγειρας, ὁ Ἰωάσαφ τότε, ἑδωκεν ἑαυτὸν εἰς θεραπείαν τοῦ Θεοῦ· μὴ φέρων τοῖς ἐν γῇ, προσηλῶσθαι ὁλικῶς. Ἄγγελοι, συνηγόρουν τῇ προαιρέσει, οὐρανοὶ ἐχαιρον, γῇ ἠγάλλετο, ὡρῶντες ὑφ' ὑμῶν, Θεὸν δοξαζόμενον.

Καὶ νῦν. Θεοτοκίον, ἢ τῆς Ἑορτῆς. Ἕτερα στιχ.εἰς τὴν Λιτὴν καὶ ταῦτα ᾀδόμενα. Ἦχος ά. Ποίημα Ζαχαρίου Ἱερέως.

Τέρπεται ἡ Πατρίς σου, καὶ γηθόσυνος γάννυται, ὁσίων ἐγκαλώπισμα, Ἀθανάσιε Μάκαρ. Τὰ σπάργανα γὰρ τὰ σὰ προτιθεῖσα, κῦδός τε καὶ δόξαν σχοῦσα, σὲ τὸν ἀριστέα ἀβρύνεται, καὶ τὰ τῶν πολεμίων, ἐνεδρα φροῦδα τῇ σῇ συμμαχίᾳ, ρωννυμένη ἐκτελεῖ, διόπερ νῦν ᾄσματα, ἐμμελῆτε καὶ ᾠδάς, ἐναρμονίους προσκομίζουσα, σοί γε ἀξιοχρέως, λύτρωσιν τῶν ἐκ τῆς Ἄγαρ, δεινῶν σῇ μεσιτείᾳ, ἐξαιτεῖται παρὰ Θεοῦ, ὁμόνοιαν, εἰρήνην, καὶ μέγα ἔλεος, Ἦχος β΄.

Μεθισταμένου σου ἐκ χθονός, Ἀθανάσιε Μάκαρ, οἱ Οὐράνιοι νόες παμπληθεί, σὺν Ὁσίων δήμοις, τὴν προπομπὴν ἐποιοῦντο, καὶ Χριστὸς ὁ Βασιλεύς, τὸ Πνεῦμά σου λαβών, μοναῖς ταῖς αἰωνιζούσαις ἐντίθησι, παρ' οὗ περ καὶτοὶ τῆς χαρᾶς, τῶν ἐκλεκτῶν ἀξιωθείημεν,

Ὁ αὐτός.

Τοῖς πόθῳ ζέοντι λειψάνοις, τοῖς σοῖς προσπεφευγόσιν, Ἀθανάσιε Παναοίδιμε, πολυειδῶν νόσων, ἄφθονον τὴν θεραπείαν, ἡμῖν δίδου κατ' ἄμφω. Ἵν' ἧς ἐφιέμενοι, οὐρανίου καὶ ἀρρήτου εὐφροσύνης, τῇ σῇ θερμῇ μεσιτείᾳ, ἀξιωθῶμεν παρὰ Χριστοῦ τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν. Δόξα, πάλιν τὸ ά. Καὶ νῦν. Θεοτοκίον. Εἰς τὸν στίχον, Στιχηρά, ἦχος πλ. ά. Χαίροις ἀσκητικῶν.

Χαίροις τῶν ἀρετῶν ὁ κανών, τὸ τῆς ἀνδρείας, καὶ φρονήσεως ἄγαλμα, ὁ τύπος τῆς σωφροσύνης, δικαιοσύνης βυθός, ὁ τῆς θεωρίας καὶ τῆς πράξεως, διδάσκαλος ἄριστος, τὸ ἐξέχον παράδειγμα, τῆς καρτερίας, τὸ καλὸν ἀπεικόνισμα, χαίροις θεοειδέστατε, τοῦ πνεύματος ὄργανον, Ἀθανασίων τῶν πάλαι, ὁμωνυμῶν καὶ ὁμότροπε, Χριστὸν ἐκδυσώπει, παροχὴν τοῖς σὲ τιμῶσι τὸ μέγα ἔλεος.

Στ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.

Χαίροις, ἡσυχαστῶν μοναστῶν, καὶ ἀσκητῶν τὸ θεῖον ὄντως ἀρχέτυπον, ἡ στάθμη τῶν σχολαζόντων, κατὰ Θεὸν τὸν σεπτόν, ἐγκρατείας ὄντως ἐνδιαίτημα, ἀγάπης τὸ τέμενος, ταπεινώσεως πέλαγος, τῆς συμπαθείας Ἰωάσαφ ἡ θάλασσα, τὸ τοῦ ἐλέους ἀκριβέστατον γνώρισμα, χαίροις, ὁ παμφαέστατος, φανὸς ὁ τὰ πέρατα, καταφωτίζων ἀκτῖσι, τῶν ἐναρέτων σου πράξεων. Χριστὸν ἐκδυσώπει, χορηγῆσαι τοῖς ὑμνοῦσί σε Πάτερ ἔλεος.

Στιχ. Μακάριος ἀνήρ, ὁ φοβούμενος τὸν Κύριον.

Χαίρετε οἱ ἐκ γῆς καὶ χοός, ἀναδοθέντες κατὰ φύσιν ὡς ἄνθρωποι, τὸν χοῦν δέ, ὑμῶν τὸ πνεῦμα, τὸ ἐκ Θεοῦ ἀληθῶς, ἐκνικήσαν ὅλως, ἀνεβίβασεν, εἰς ὕψος αἰθέριον, καὶ ὑψῶσαν ἐδόξασε, καὶ συμμετόχους, τοῦ Θεοῦ ἀπειργάσατο ὡς ἐγγίζοντας, πρὸς αὐτὸν πλησιέστερον. Χαίρετε οἱ πρὸ λύσεως, τοῦ σώματος ἔνδοξοι, μὴ δεδεμένοι τελοῦντες, ἀλλ' ὥσπερ ἄσαρκοι μένοντες. Χριστὸν δυσωπεῖτε, τοῦ βραβεῦσαι τοῖς αἰνοῦσιν, ὑμᾶς τὸ ἔλεος. Δόξα, ἦχος γ'.

Πάλιν ἰδού, ὁ ἑστιάτωρ ἦλθε, καὶ τὸ ἑστιατόριον ἕτοιμον· διὰ γὰρ κυκλικῆς τοῦ χρόνου περιτροπῆς, ὁ κλεινὸς Ἀθανάσιος, τὰ οἰκεῖα μνημόσυνα, κοινὴν πανδαισίαν τίθησι· καὶ τροφὴν εὐτρεπίσας πνευματικήν, κύκλῳ τῆς νοητῆς αὐτοῦ τραπέζης, τὰ ἔγγονα εὐφραίνεται βλέπων κορεννύμενα καλῶς· μεγαλοψύχως οὖν ἑστιῶν χαρᾶς, ἐμπιπλᾷ ἀρρήτου τοὺς δαιτυμόνας, καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον· ἢ τῆς Ἑορτῆς. Ἀπολυτίκιον, ἦχος γ'.

Στύλος ἄσειστος, καὶ στερρὸν τεῖχος, καὶ προπύργιον, γενοῦ καὶ σκέπη τοῦ σοῦ ποιμνίου Σοφὲ Ἀθανάσιε, τῶν πρεσβειῶν σου σκεπάζων ταῖς πτέρυξι, τοὺς ἐν αὐτῷ ἀσκουμένους ἑκάστοτε. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν δοξάζοντας, καὶ ἀνυμνοῦντας ἐκ πόθου τὴν μνήμην σου. Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον ἢ τῆς Ἑορτῆς.

Καὶ ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν ά. στιχολ. καθ. ἦχος ά. Τὸν τάφον σου.

Τῷ θρόνῳ παρεστώς, τοῦ Δεσπότου Θεόπτα, καὶ αἴγλης ἐμφανῶς, θεϊκῆς ἀπολαύων, πρεσβεύειν θερμότατα, μὴ ἐλλίπῃς Μακάριε, τοὺς ὑμνοῦντάς σε, πάσης λυτρώσασθαι βλάβης, καὶ θεώσεως, ἐν μετοχῇ γεγονότας, σὺν σοὶ ἐπευφραίνεσθα.

*Δόξα, πάλιν τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.* *Ὅμοιον.*

Ἐσκήνωσεν ἐν σοί, τῆς Θεότητος ὅλον, τὸ πλήρωμα Ἁγνή, ὑπὲρ νοῦν τε, καὶ λόγον, καὶ πᾶσαν ἐθεούργησε, τὴν βροτῶν φύσιν Δέσποινα· σὺ δὲ γέγονας, ἀρχὴ τῆς χάριτος ταύτης, καὶ σωτήριος, χειραγωγὸς τῶν ἐν πίστει, καὶ πόθῳ τιμώντων σε.

*Εἰς τὴν β΄. στιχ. κάθ. ἦχος ὁ αὐτός.* *Ὅμοιον.*

Τὸ σῶμα δαπανῶν, ἐν νηστείᾳ καὶ νήψει, τὸ Πνεῦμα νοητῶς, ὑπεδέξω τὸ Θεῖον, Ἰωάσαφ καὶ χάριτος, κοινωνὸς ἐχρημάτισας· ὅθεν πρέσβευε, συγκοινωνούς σοι γενέσθαι, τοὺς ὑμνοῦντάς σου, τὴν φωτοφόρον καὶ θείαν, πανήγυριν πάντοτε.

*Δόξα, πάλιν τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον.* *Ὅμοιον.*

Φωτὸς τοῦ νοητοῦ, τὸ λαμπρότατον σκεῦος, τὸ σκότος τῆς ἐμῆς, λῦσον κόρη καρδίας, παθῶν τε τὸ βαρύτατον, ἄχθος κούφισον δέομαι, ὁδηγοῦσά με, πρὸς μετανοίας ἔννοιας, καὶ τοῦ μέλλοντος, καταξιοῦσα φωτός με, Πανάμωμε Δέσποινα.

*Μετὰ τὸν Πολυέλεον, κάθ. ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Ἱερώτατον οἶκον σοὶ τῷ Θεῷ, νῦν ὡς ἄλλος ἀνήγειρε Μωϋσῆς· οὐ μόσχοι καὶ τράγοι γάρ, ἐν αὐτῷ σφαγιάζονται; οὐ Θεῷ θυσίαι, προσφέρονται ἄλογοι, τὸ φρικτὸν δὲ σῶμα, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ὅθεν ἁγιάζει, μυστικῶς οὗτος μᾶλλον, ἐκεῖ γὰρ αἰνίγματος, σκιωδῶς σημαινόμενα, ὧδε δέ, ἡ ἀλήθεια, φαίνεται τῷ κόσμῳ Χριστός, ᾧπερ καὶ λατρεύομεν, ὅσιε καὶ προσκυνοῦμεν ἐν πίστει, σωθῆναι ἐλπίζοντες.

*Δόξα, πάλιν τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.* *Ὅμοιον.*

Ἐκ σαρκός σου φορέσας ὡς ἀγαθός, τὴν μορφὴν ὁ Δεσπότης τὴν δουλικήν, ἐθέωσε Δέσποινα, ἑνωθείς, καθ' ὑπόστασιν, καὶ τὴν φύσιν πᾶσαν, πληρώσας τοῦ Πνεύματος, τῶν ἁγίων δήμους, εἰργάσατο χάριτι· ὅθεν τὴν αἰτίαν, τῶν ἀῤῥήτων πραγμάτων, καὶ πρώτην τοῦ Πνεύματος. πληρωθεῖσαν ὑμνοῦντές σε, ἐκ καρδίας βοῶμέν σοι· χαῖρε σωτηρίας ἀρχηγέ, τῶν πταισμάτων χαῖρε ἡ λύτρωσις, τῶν προσκυνούντων ἐν πίστει τὸν τόκον σου.

*Οἱ Ἀναβαθμοί, τὸ ἀ. Ἀντίφωνον τοῦ δ΄, ἦχου. Προκείμενον, ἦχος δ΄.*

*Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.*

*Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.* *Εἶτα Εὐαγγέλιον Ὁσιακόν, καὶ τὸν Ν΄. ὡς σύνηθες. Εἰς δὲ τό, Ἐλέησόν με ὁ Θεός.* *Ψάλλομεν Ἰδιόμελον, ἦχος β΄.*

Ἀθανάσιε Πάτερ, ὡς ἡμέτερος ἀλείπτης, μὴ ἐλλείπῃς ταῖς προσευχαῖς σου, τὴν ἡμῶν ἐνδυναμῶν ἀσθένειαν· ὅπως τὰς ἐναντίας, δυνάμεις τροπωσώμεθα *Εἶτα οἱ Κανόνες, τῆς τυχούσης ἑορτῆς, ἢ τῆς Θεοτόκου, μετὰ τῶν Εἱρμῶν εἰς ς΄. Καὶ τοῦ ἁγίου οἱ δύο, εἰς ἡ. Οὗ ἡ ἀκροστιχίς. Κατὰ Ἀλφάβητον.*

Ἐν δὲ τοῖς τελευταίοις τῶν ᾠδῶν Τροπαρίοις, Ἰουστίνου.

Ὠδὴ ά. ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον.

Αἰνέσωμεν, συνελθόντες ἅσμασι, τὸν Ἀθανάσιον, σὺν Ἰωάσαφ ἅμα τῷ κλεινῷ, ὡς κοινοὺς Προπάτορας, ὥσπερ ἀγρύπνους φύλακας, ἡμῶν ἐν πᾶσι καὶ συλλήπτορας.

Βάτόν σοι Χριστοῦ θεράπον γέγονε, τὸ πρώην ἄβατον, ὄρος ἐν ᾧ χάριν συνοικισμοῦ, ἀναβὰς Ἀθανάσιε, τῷ σῷ συνδρόμῳ ἔλεγες. Εἶναι ἡμᾶς ὧδε καλόν ἐστι.

Γῆς ἄλλης ἡ Θεσσαλία ἔδοξεν, ὑμὶν μακάριοι, οἰκεῖν δὲ ταύτης ἀρίστη Τρίκκη δέ. Τρίκκης δ' αὖ τὸ μετέωρον, αὐτὸν ἐν τούτῳ σύμψηφον, σχόντες Χριστόν, ὁμοῦ καὶ σύνοικον. Θεοτοκίον.

Ἰδού σοι τοῦ Γαβριὴλ Πανάμωμε, τὸ χαῖρε κράζομεν. Χαῖρε Παρθένε Μῆτερ τῆς ζωῆς· χαῖρε πύλη Οὐράνιε, χαῖρε τὸ κλέος Ἄχραντε, τῶν μοναζόντων χαῖρε Δέσποινα. Ἕτερος Κανών, οὗ ἡ ἀκροστιχίς. Ἀθανάσιον ἐν ὕμνοις μεγαλύνω. Ἰουστίνος,

Ὠδὴ ά. ἦχ. πλ. Ἁρματηλάτην Φαραὼ ἐβύθισε.

Ἀθανασίας τετρωμένος ἔρωτι, πᾶσαν ἐξέφυγες, ἐκ παιδὸς πάμμακαρ, ὑλικὴν προσπάθειαν, καὶ τὸν σταυρὸν ἀράμενος, ἠκολούθησας Πάτερ, τῷ σῷ Δεσπότῃ κελεύοντι, ᾧ συμβασιλεύεις αἰώνια.

Θεσμοὺς νικήσας ἀνδρικῶς τῆς φύσεως, ὥς τις ἀσώματος, ὅλος ὤφθης πνεῦμα, δουλώσας τῷ κρείττονι. Τὸ χεῖρον διὸ γέγονας, οἰκητήριον Πάτερ, καὶ Θείου Πνεύματος τέμενος, οὗ νῦν τῆς ἑλλάμψεις εἰσδέδεξαι.

Ἀγγελικῶς ἐπὶ τῆς γῆς ἰσάγγελε, πολιτευσάμενος, Ἀγγέλους ἐπίσης, καὶ βροτοὺς ἐξέπληξας, τῷ ὑπὲρ φύσιν βίῳ σου, ἐν σαρκὶ ἀνθρώπινε, βιοὺς ἀσάρκως ὡς Ἄγγελος· ὅθεν καὶ Ἀγγέλοις συντέταξαι. Θεοτοκίον.

Νόμοις ἐπαίνων λογικοῖς Θεόνυμφε, οὐχ' ὑποπτίπτουσιν, ἀλλ' ὑπερνικῶσι, τὰ ἐν σοὶ τεράστια, ὡς ὑπὲρ φύσιν ὄντα γάρ, ὑπὲρ ἅπαντα λόγον, πεφύκασι καὶ κηρύττουσι, τὸ ἐν σοὶ ἐξέχον τοῖς πέρασιν. Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Δοξάζει Χριστὸς ὑμᾶς, ἐν Οὐρανοῖς καὶ γὰρ αὐτὸν ὅσιοι, ὑμεῖς ἐν γῇ πρότερον, ἔργοις τοῖς ὑμῶν ἐδοξάσατε.

Ἐνίκησας ἀνδρικῶς, τὴν τῶν δαιμόνων νοητὴν φάλαγγα ἔχων τὴν σὴν κράτιστον, ὅπλον προσευχὴν Ἀθανάσιε.

Ζυγὸς ὁ Χριστοῦ, καὶ σοὶ ᾧ Ἰωάσαφ ἐλαφρὸς ἔδοξεν, ὅνπερ αὐτὸς πρότερον, ἆρας καὶ τοὺς σοὺς αἴρειν ἔπεισας. Θεοτοκίον.

Ὁ κόσμος ὁ λυτρωθείς, τῆς πολυθέου διὰ σοῦ Πάναγνε, πλάνης ὑμνεῖ πάντοτε, σὲ ὡς ἑαυτοῦ εὐεργέτιδα.

*Ἄλλος. Ὁ στερεώσας κατ' ἀρχάς,*

*Ἄκακος σὺ καὶ πρᾷος ὤν, καὶ ταπεινὸς ὑπὲρ πάντας, ἐμυήθης τὰ μυστήρια μάκαρ, τῆς ἀγάπης τοῦ Χριστοῦ, καὶ νουνεχῶς ἀπέρριψας Κόσμον καὶ τὰ τοῦ Κόσμου, πλησθεὶς τοῦ Πνεύματος Ὅσιε.*

*Σάρκα τὴν σὴν ὥσπερ ἐχθράν, ἀπέκδυθεὶς ἐδουλώσω, τῷ τοῦ Πνεύματος νόμῳ παμμάκαρ, καὶ ἐπλήσθης φωτισμοῦ, πνευματικοῦ καὶ χάριτος· ἧς μικρὸν μέρος Πάτερ, κἀμοὶ παράσχου ὑμνοῦντά σε Ἵνα ἐκκλίνῃς ὁλικῶς, τὴν Αἴγυπτον φυγαδεύων, ἀπεμάκρυνας ἐν ὄρει ἁγίῳ, καὶ ἐβόας τῷ Χριστῷ· δεῖξον κἀμοὶ τὴν δόξαν σου, ὡς Μωϋσῆ τῷ πάλαι, ὡς σὺν ἐκείνῳ δοξάζω σε. Θεοτοκίον.*

*Ὅλον ἐκ σοῦ θεοπρεπῶς, φορέσας με ὑπὲρ λόγον, ὁ Θεὸς ὅλος Ἁγνὴ χρηματίζων, καὶ διττὰς ἐν ἑαυτῷ, φύσεις τε καὶ θελήματα, ἄναρχα καὶ ἠργμένα, φέρων φρουρεῖ τοὺς ὑμνοῦντάς σε.*

*Κάθισμα, ἦχος πλ. δ'. Τὴν Σοφίαν, καὶ Λόγον.*

*Οἱ τὴν ὕλην πατήσαντες τὴν χαμαί, καὶ πτερὰ περιθέμενοι προσευχῆς, αἰνέσατε ἅπαντες, τὸν σεπτὸν Ἀθανάσιον, ὡς κοινὸν Πατέρα, ὑμῶν καὶ διδάσκαλον, πρὸς αὐτὸν βοῶντες. ἐνθέοις ἐν ἄσμασι. Χαίροις, σοῦ γὰρ Πάτερ ἡ σαργάνη καὶ κλίμαξ, εὑρήματα πέφυκε, καὶ σοφὰ μηχανήματα, εὐφυέστατα ὄργανα, δι' ὧν ἀναφέρονται ψυχαί, ἀστραπαῖς ταῖς θείαις αἱ θελγόμεναι, εὐσταλῶς τε καὶ κούφως, εἰς θεῖα σκηνώματα. Δόξα, πάλιν τὸ αὐτό, Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.*

*Ὁ τὸ πρὶν ἐκ μὴ ὄντων παραγαγών, τὰς τῶν ὄντων οὐσίας λόγε Θεοῦ, τιμήσας εἰκόνιτε, καὶ χειρί σου τὸν ἄνθρωπον, καὶ φθαρέντα τοῦτον, ἀπάτῃ τοῦ ὄφεως, ἀναπλάσας, αὖθις, Σταυρῷ τῷ τιμίῳ σου, πᾶσάν τε τὴν φύσιν, ἁγιάσας οἰκτίρμον, τῷ θείῳ σου Πνεύματι, καὶ σαρκὸς τῷ προσλήμματι, τῆς μητρός σου δεήσεσι, Δέσποτα Χριστὲ ὁ Θεός, τῶν πταισμάτων ἄφεσιν δώρησαι, τοῖς προσκυνοῦσιν ἐν πίστει τὸ κράτος σου. Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.*

*Ἡλιοὺ ὥσπερ τις ἄλλος καθάπερ ἅρμα, τῶν ἀρετῶν ἐζεύξατε, τὰς ἡγενικωτάτας, αἷς περ ἐποχούμενοι, φρικτῶς ἀνεδράμετε, οὐρανῶν εἰς ὕψος ἀμφότεροι.*

*Θαυμαστή σου καὶ ἡ κλῆσίς ἐστι παμμάκαρ, θαυμαστὸν τὸ χρῆμα δέ, τῆς Ἀθανασίας, ἣν περ ὁ φιλάθρωπος Χριστός σοι παρέσχετο, Πάτερ τῶν σῶν πόνων ἀντάμειψιν.*

*Ἱερὸν σὺ Ἰωάσαφ οἶκον ἐγείρας, τῷ ἐν Θαβὼρ ἐκλάμψαντι, ἡμᾶς συνεγείρεις, ὅς τις τοὺς ἱδρῶτάς σου, τιμῶν τοῦτο δείκνυσι, τράπεζαν κοινὴν καὶ ἀδάπανον. Θεοτοκίον.*

*Ὑπερτέρα τῶν κτισμάτων σὺ εἶ Παρθένε· τὸν ποιητὴν γὰρ τέτοκας, πάντων καὶ Δεσπότην, ὃν καθάπερ τόκον σου, ἱκέτευε πάντοτε, σῶσαι τοὺς ἀεὶ ἀνυμνοῦντάς σε. Ἄλλος. Σὺ μου Χριστὲ Κύριος.*

Νέος ἰδού, ἐν Μετεώρῳ ἐξέλαμψας, ὡς ἐν Ἄθῳ, ἄλλος Ἀθανάσιος, τοὺς πειθαρχοῦντας τῶν μοναστῶν, σὺ ὥσπερ κἀκεῖνος, Ἀγγέλους ἀπεργαζόμενος, ᾧ νῦν ὡς ὁμοτίμῳ, συνὼν καὶ συγχορεύων, καὶ ἡμῶν τῶν ὑμνούντων σε μέμνησο.

Εὗρες ἰδού, τὰς ἀμοιβὰς τῶν καμάτων σου, Βασιλείαν, τοῦ Θεοῦ πηξάμενος, σκηνὴν ἐν λόφῳ τῷ ἱερῷ, καὶ τὴν θείαν μάνδραν, ἐγείρας ἣν καὶ ἀνέθηκας, τῷ μεταμορφωθέντι, Χριστῷ ἐν Θαβωρίῳ, ὃν δυσώπει φυλάττειν ἀπήμαντον.

Νόμους Θεοῦ τοὺς ὑπὸ σὲ ἐξεπαίδευσας, πολιτείαν ὅλην προστησάμενος, τὴν σὴν αὐτοῖς καὶ διαγωγήν, βαίνειν τε κατ' ἴχνος, σοῦ τοῦ Πατρὸς ὑποθέμενος· οὓς νῦν μὴ διαλίπῃς, κυβερνῶν, καὶ ρυθμίζων, παγγενῶς σαῖς εὐχαῖς πρὸς τὰ κάλλιστα. Θεοτοκίον

Ὑμνους ἀγνή, τοὺς εὐτελεῖς τούτους πρόσδεξαι, φερομένους, ἀπὸ γλώττης πένητος, καὶ διανοίας πάνυ στενῆς· ἀλλὰ μετὰ γνώμης, εἰλικρινοῦς τε καὶ πίστεως, καὶ τοὺς ὑμνολογοῦντας, τὸ μυστήριον κόρη, τὸ ἐν σοὶ σαῖς πρεσβείαις διάσωσον. Ὠδὴ έ. Σὺ Κύριέ μου φῶς.

Κλίμακος νοητῆς, φέρω τύπον ἀνάβητε, ἀνέλθετε, δεῦτε πάντες, δεῦτε πρός με ἡ κλίμαξ, βοᾷ Χριστὸς ὀψόμενοι.

Λέγει τοῖς μοναστάις. ἡ σαργάνη προσέχετε, οὐ μόνον ὑμᾶς ἀνάγω, ἀπὸ γῆς εἰς τὸ ὄρος, ἀλλὰ καὶ εἰς οὐράνια.

Μάνδρας τῆς λογικῆς, ἣν συνήξατε Ὅσιοι, δεήθητε προστατεύειν, τοῦ Χριστοῦ καὶ φυλάττειν, ἀεὶ ἀνεπηρέαστον. Θεοτοκίον

Σῶσον με τῆς φθορᾶς, τῶν πταισμάτων ἀνάγαγε, σὺ Δέσποινα Θεοτόκε, ὅλον δεῖξόν με, τῆς θείας δόξης ἄξιον.

Ἄλλος. Ἵνα τί με ἀπώσω.

Μνημονεύων μὴ παύσῃ, ἧς ἐκτήσω ποίμνης σου σεπτῆς μακάριε, καὶ τῶν σῶν προβάτων, ἃ καὶ πόνῳ, καὶ πόθῳ συνήγαγες, λύκων ἁρπακτήρων, τῶν πονηρῶν δαιμόνων Πάτερ, ἀνωτέραν φυλάττων πρεσβείαις σου.

Νεουργήσας τὸν Κόσμον, τῇ μεταμορφώσει σου μόνε φιλάνθρωπε, καὶ τὴν μάνδρα ταύτην, καὶ νεούργει, καὶ αὔξε, καὶ πλάτυνε· σοὶ γὰρ φέρων ταύτην, ὁ οἰκιστὴς ἀνέθηκέ τε, καὶ σοῦ δεῖται φυλάττειν ἀπήμαντον·

Ὁ Κανὼν καὶ ὁ γνώμων, τῆς ἀναχωρήσεως καὶ τῆς ἀσκήσεως, ὁ τῆς ἐγκρατείας, καὶ νηστείας διδάσκαλος μέγιστος, ὁ ἔνθεος τύπος, καὶ ὁδηγὸς τῶν μοναζόντων, εὐφημείσθω ψαλμοῖς Ἀθανάσιος.

Ἰατρόν σε παμμάκαρ, καὶ θεραπευτὴν οἱ τιμῶντες τὴν μνήμην σου, καὶ ὑμνολογοῦντες, ἐν ᾠδαῖς τε, καὶ ᾄσμασιν ἔχοιμεν, τὰς σωματικάς τε, καὶ ψυχικὰς ἀλόγους νόσους, καὶ τὰ ἄγρια πάθη κοιμίζοντα.

*Θεοτοκίον.*

Συμφωνία κυμβάλων, καὶ ρητορικῶν τεχνολόγων πανάμωμε, ἡ καλλιφωνία, οὐκ ἰσχύει ἀξίως ὑμνῆσαί σε· ἡ γῆ σὴ ἀξία, ὑπερνικᾷ ρυθμὸν ἁπάσης, μουσικῆς, καὶ ρητόρων τὴν δύναμιν.

*Ὠδὴ ϛ΄. Θύσω σοι μετὰ φωνῆς.*

Νέας σε, Βεσελεὴλ ὡς ἄλλον δομήτορα, σκηνῆς καὶ Μάνδρας Ἁγίας καὶ νομέα ὄντα καὶ κηδεμόνα, ἀνυμνοῦμεν οἱ σοὶ θεράποντες Ἀθανάσιε.

Ξένη σου, ἡ πρὸς ἡμᾶς ἀγάπη θεόληπτε. Ἵνα γὰρ ὦμεν φροντίδων, Ἰωάσαφ ἄμοιροι τῶν τοῦ βίου τὸν Δεσπότην, Χριστὸν ταμίαν δίδως τοῖς τέκνοις σου.

Ὤμοσον, ἐγκαταλείψειν ὅλως μηδέποτε, οἱ σοὶ σοῦ δέονται δοῦλοι, τὸν ναόν σου, τοῦτον σὺ δὲ ὀμόσας, περιέπειν, οὐκ ἀθετεῖς Χριστὲ τὴν ἀλήθειαν. *Θεοτοκίον.*

Τίθησιν, ἐπὶ τοῦ θρόνου αὐτοῦ ὥσπερ ὤμοσεν, ἐκ τοῦ καρποῦ τῆς κοιλίας, τῷ Δαβὶδ ὁ Κύριος καὶ δοξάζει, τὸν καρπόν, σὺν τῷ δένδρῳ σε Πάναγνε. Ἄλλος. Ἱλάσθητί μοι Σωτήρ.

Μωσῆς ὡς πάλαι γνωστῶς, Θεὸν ἰδεῖν ἐπεθύμησας· διὸ καὶ ἀποβαλών, καθάπερ ὑπόδειγμα, τὸν Κόσμον Μακάριε, ἀναβὰς εἰς ὄρος, τὸ βουλόμενον κατώρθωσας.

Ἐτρώθης Μάκαρ Χριστοῦ, παιδὸς ἐξέτι τῷ ἔρωτι, καὶ φεύγων τὰ ὑλικά, αὐτὸν κατεδίωκες, ἐν ἄντροις καὶ ὄρεσι, καὶ τοῦ ποθουμένου, οὐκ ἠστόχησας πανόλβιε.

Γεώδους ὑπεριδών, παντὸς φρονήματος Ὅσιε, προσεκολλήθης Χριστῷ, καὶ τούτῳ τὴν ποίμνην σου, φυλάττειν ἀνέθηκας, καὶ τοὺς ταύτην ἅμα, κατοικοῦντας, καὶ ὑμνοῦντάς σε. *Θεοτοκίον.*

Ἄναγαγέ με βυθοῦ, θανατηφόρου πανάμωμε, καὶ τῶν ἐμῶν λογισμῶν τὸ σκάφος κυβέρνησον, ἐνθεῖσα πηδάλιον, τὸν θεράποντά σου, καὶ τὴν σὴν θερμὴν ἀντίληψιν. *Κοντάκιον, ἦχος β΄. Τὰ ἄνω ζητῶν.*

Τὰ ἄνω ποθῶν, τὴν κλίμακα ἐτέκτηνας, τὰ κάτω μισῶν, σαργάνην Πάτερ ἐπλεξας, δι' ὧν εἰς τὸ ὕψος τῆς ἀπαθείας, πλήθη ἀνήγαγες μοναστῶν, Χριστῷ τῷ Θεῷ προσάγων, ἐπάξιον ὡς δῶρον αὐτούς.

*Ὁ Οἶκος.*

Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν εἰς τὸ ὕψος, καὶ ἴδετε τίς κατέδειξε ταῦτα πάντα; Ἡσαΐας φησί. Τίς τὸ διορατικὸν κάτω κείμενον τῶν ἀνθρώπων, ἄνω τείνειν ἐδίδαξε πρὸς Θεόν; Τίς ἐπαίρειν εἰς Οὐρανούς, καὶ ὑψοῦν τὰ φρονήματα, διὰ τῆς ὑλικῆς ὑπηνίξατο κλίμακος; τίς ἄλλος, ἀλλ' ἢ οὗτος, ὁ νῦν ἡμῖν εἰς εὐφημίαν προκείμενος, τοῦτον λοιπόν, ἐν φωναῖς περιτράνοις ὑμνήσωμεν· τούτου τῇ μνήμῃ, τιμὰς ἑορτασίμους προσάξωμεν· τούτου τὰς ἀρετάς, τοῖς προσήκουσιν ἐγκω-

μίοις ἐξάρωμεν. Οὗτος γὰρ ἄπειρα πλήθη πρὸς σωτηρίαν ὡδήγησε μοναστῶν. Χριστῷ τῷ Θεῷ προσάγων, ἐπάξιον ὡς δῶρον αὐτούς.

**Στίχοι.**

»Τὸν λίθον Πάτερ, τὸν τραχύν, καὶ ἀνάντη,
»Πρὸς λίθον ἀκρόγωνον, τρίβον εἰργάσω·
»Λίπ' ἐν τῇ γῇ βιοτόν γ' Ἀθανάσιος ἀμφ' εἰκάδι.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ.

Πρεσβείαις ἅμα, ταῖς πρὸς Θεὸν ὑμῶν, καὶ ταῖς προσευχαῖς, λύσιν, τῶν παθῶν, δαιμόνων ἀφανισμόν, καὶ θανάτου ἀποσόβησιν, ὥσπερ φιλόστοργοι, δότε Πατέρες τέκνοις πατρῴζουσιν.

Ρύπου παντοίου, ἁμαρτιῶν πολλῶν μου κάθαρον σύ, Πάτερ, Ἀθανάσιε πόθον μοι ἐνθείς, θεαρέστως πολιτεύεσθαι· κἀγὼ γὰρ πρόβατον, τῆς σῆς ἐκλήθην Μάνδρας ἀοίδιμε.

Στενὴν ὁδεύειν, καὶ τεθλιμμένην ἀσπασάμενος σύ, τρίβον, Ἰωάσαφ εἴσοδον Οὐρανόν, εὗρες Πάτερ, τὴν εὐρύχωρον· ἧς τυχεῖν Ὅσιε, καὶ ἡμᾶς νῦν εὐχαῖς σου ἀξίωσον. Θεοτοκίον.

Ἰδοὺ Παρθένε, τὰς ἀφορμὰς τῶν λόγων δίδως μοι σύ, λόγον, ἡ τεκοῦσα ἄναρχον τοῦ Θεοῦ· ὃς καὶ σώζει τοὺς σοὶ ψάλλοντας, εὐλογημένη σύ, ἐν γυναιξὶν ὑπάρχεις πανάμωμε.

Ἄλλος. Θεοῦ συγκατάβασιν.

Λαμπρὰν τὴν διάνοιαν, ἀπερρηγμένην τε πάσης σχέσεως, γεηρᾶς Θεοφόρε, καὶ τῶν ἀλόγων σὺ κεκτημένος παθῶν, φωτὶ ἐλλάμφθης, τῷ θείῳ καὶ ἔψαλλες. Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὑπέρτερος γέγονας, τῶν σκιρτημάτων σαρκὸς πανόλβιε, τῶν ἀγρίων διττάς τε, σαυτῷ τὰς πτέρυγας περιθέμενος, τῆς θεωρίας καὶ πράξεως ἔψαλλες. Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ναὸς θείου Πνεύματος, ἐγένου Πάτερ· ἐν ἡσυχίᾳ πολλῇ, ἐγκρατείᾳ, καὶ νήψει, καὶ προσευχῇ ἐλέῳ, καὶ δάκρυσι, καταναλῶν σου τὸν βίον ἐκραύγαζες· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Ὦ Δέσποινα πλάτυνον, τὴν τῆς ζωῆς μου τρίβον πρεσβείαις σου, θλῖψιν τὰ ἄγρια πάθη, στενὴν καὶ ἄβατόν μοι εἰργάσαντο· ἀλλ' ἴθυνόν με πρὸς πλάτος εὐρύχωρον, τῆς αἰωνίου ζωῆς, ἵνα σὲ χαίρων ὑμνῶ.

Ὠδὴ ἡ. Χεῖρας ἐκπετάσας.

Τήρησον παμμάκαρ ἀσινεῖς, λεόντων χάσμασι, δαιμόνων στόμασιν, οἰκτρῶς ἀεὶ περιπίπτοντας, σαῖς εὐχαῖς, ἡμᾶς περίζωσον, καὶ ἐκ τοῦ λάκκου τοῦ βυθοῦ, τοῦ ᾅδου ἅρπασον, Ἰωάσαφ τοὺς ἀνυμνοῦντας πόθῳ τὴν μνήμην σου.

Ὑπερθεν τῶν κάτω γεγονώς, εἰς ὕψος μέγιστον, Παμμάκαρ ἔφθασας, τὸ τῆς θεώσεως ἄριστα, τὴν ψυχὴν καὶ τὴν διάνοιαν, κατὰ

*Μωσέα δοξασθείς, ὦ Ἀθανάσιε· εὐλογεῖτε κράζων τὰ ἔργα Κυρίου τὸν Κύριον.*

Φίλη σοι ἡ κλίμαξ οἱ βαθμοί, πρὸς τὴν ἀνάβασιν, στερροὶ γεγόνασι, δι' ὧν αἰρόμενος ἔφθασας, οὐρανῶν ἁψίδας ὅσιε, ὑπὲρ ἡμῶν τὸν λυτρωτὴν ἐξιλεούμενος, Ἰωάσαφ, τῶν σὲ ὑμνούντων πίστει Θεόληπτε.

*Θεοτοκίον.*

Νέκρωσις σφαλμάτων, καὶ δεινὸς Παρθένε θάνατος, νυνὶ συνέχει με, ἀλλά με κείμενον ἔγειρον, μετανοίας ὑποδείξασα, ὁδοὺς εὐθείας ἀγαθή, ὅπως κραυγάζω σοι· εὐλογοῦμεν, εὐλογημένη Κόρη τὸν τόκον σου.

*Ἄλλος. Ἐπταπλασίως κάμινον.*

Ἰδοὺ Μωσῆς σὺ δεύτερος· τὴν γὰρ Αἴγυπτον ἔφυγες, τὸ τῆς ἁμαρτίας διακόψας πέλαγος, δυνάμει τε κρείττονι, τὸν τοῦ Κυρίου Μάκαρ λαόν, πάντα, διασώσας, εἰς τὸ ὄρος ἀνῆλθες, καὶ πήξας ἀνετίθης, τὴν σκηνὴν σὺν τῇ μάνδρα, τῷ ἐν Θαβωρίῳ ἀμείψαντι τὴν θέαν.

Ὁδηγῶν ὡς πρόβατα, σὺ παμμάκαρ τὰ τέκνα σου, εἰσάγων, ἐξάγων, ἀντιλαμβανόμενος, τοὺς λύκους διώκων τε, εὐχῶν σου τῇ καλαύροπι, (*) ἐπὶ χλόην νομῶν, καὶ δογμάτων τῶν θείων, ποιμαίνων, καὶ χορεύων, σὺν αὐτοῖς καὶ κραυγάζων, λαὸς ὑπερυψοῦτε, *Χριστὸν* εἰς τοὺς τοὺς αἰῶνας.

Ὑπογραμμὸν τοῖς τέκνοις σου, τοὺς σοὺς τύπους κατέλιπες, οὓς ἐν ταῖς καρδίαις ἑαυτῶν κατέγραψαν, καθὰ θεοχάρακτα, ὡς ἐν σαρκίναις μάκαρ πλαξί, καὶ τὴν ἀπ' αὐτῶν, ὡς θεοπέμπτων προθύμως, παραίνεσιν λαβόντες, ὠφέλειαν, καρποῦνται· καὶ σοὶ γὰρ τούτους Πάτερ ἐνέπνευσε τὸ Πνεῦμα.

*Θεοτοκίον.*

Σὺ Βασιλὶς καὶ Δέσποινα· τοῦ παντὸς γὰρ ὁ Κύριος, σχῆμα δουλικὸν ἐκ τῆς σαρκός σου εἴληφε, καὶ ταύτῃ τὸν τύραννον, ἐξαπατήσας πάντας ὁμοῦ, τοὺς δορυαλώτους, ἐν ἰσχύϊ σκυλεύει· αὐτὸν οὖν ὡς υἱόν σου μιμουμένη Παρθένε, καὶ σὺ κἀμὲ δουλείας τῆς ἁμαρτίας ῥῦσαι.

*Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.*

Χαίρετε φανώτατοι λύχνοι, οἱ καταφωτίζοντες πάντας, τοὺς τὴν ἱερὰν ὑμῶν μνήμην, ψαλμοῖς καὶ ὕμνοις καταγεραίροντας, οὓς περ καὶ ἐποπτεύοιτε, καὶ ἀβλαβεῖς διαφυλάττοιτε.

Ψάλλουσιν ᾠδαῖς θεοπνεύστοις, καὶ εὐφημοῦσιν ἐπαξίως, ὑμῶν τὴν αἰτήσιον μνήμην, οἱ ἀνοθεύτως πατρονομούμενοι, οὓς εὐμενῶς δεχόμενοι, ταῖς πρὸς Θεὸν λιταῖς ἀμείβεσθε.

Ὦ τῶν μοναζόντων τερπνότης, ὦ τῶν ὁσίων ὁσιότης, ὦ τῶν ἀσκητῶν ὡραιότης, δυὰς προκρίτων ὄντως ἡ πρόκριτος, τῆς μάνδρας ἣν ἠγείρατε, ὑμῶν ἱδρῶσι μνημονεύετε.

(*) Καλαύροψ Βουκολικὴ ῥάβδος, βαρυτέρα οὖσα τῇ κεφαλῇ.

Ὄμμα τῆς ψυχῆς ἡμῶν, σκότει ἀμαυρωθὲν τῆς ἁμαρτίας, λάμπρυνον Θεὲ παντεπόπτα, Τριὰς ἁγία καὶ ὑπερούσιε· σοὶ μόνῳ γὰρ λατρεύομεν, εἰ καὶ σοὶ μόνῳ ἁμαρτάνομεν. Θεοτοκίον.

Ὕμνους ἐναγοῦς ἀπὸ γλώττης, ψαλμοὺς ἐκ στόματος βεβήλου, αἴνους ἐκ χειλέων ἀνάγνων, μετ' εὐμενείας Παρθένε πρόσδεξαι· ἄνθρωπος γὰρ ἀμόλυντος, ὅλως οὐδείς, εἰ μὴ σὺ Πάναγνε.

Ἄλλος. Ἐξέστη ἐπὶ τούτῳ.

Τὸν δρόμον ἐξετέλεσας τὸν καλόν, καὶ τὴν πίστιν τετήρηκας Ὁσιε καὶ ἀνδρικῶς, ὅλον τὸν ἀγῶνα διηνεκῶς, νῦν τῶν στεφάνων ἔτυχες, τῆς δικαιοσύνης ἐν οὐρανοῖς, τῶν θείων λαμπηδόνων, τρανώτερον μετέχων· ἤδη γὰρ λέλυνται τὰ ἔσοπτρα.

Ἰδού σοι τῶν σῶν πόνων τὰς ἀμοιβάς, ὁ δικαίως μετρῶν ἀποδίδωσιν· αἱ γὰρ σκηναὶ ἔχουσιν Ἀγγέλων σοῦ τὴν ψυχήν, τῶν Ἀποστόλων σύστημα, τάγματα ὁσίων καὶ ἀσκητῶν, Μαρτύρων αἱ χορεῖαι, χαρᾷ περικυκλοῦσι, συμπαρεστῶτες τῷ Δεσπότῃ σου.

Νῦν θρόνῳ τοῦ Δεσπότου παρεστηκώς, καὶ τιμὰς τὰς πρεπούσας καρπούμενος, καὶ θαυμαστήν, ἔχων παρρησίαν τε καὶ ἰσχύν, τοῦ σοῦ ποιμνίου μέμνησο, μέμνησο τῆς μάνδρας σου τῆς σεπτῆς, ταῖς σαῖς πρεσβείαις ταύτην, φυλάττων ἐν εἰρήνῃ, καὶ ὁμονοίᾳ ἀσκανδάλιστον.

Ὁ Πῦργος Ἐκκλησίας ὁ ἀρραγής, μοναστῶν ταξιάρχης ὁ κράτιστος, ὁ ἁπλανής, πᾶσι τῆς ἀσκήσεως ὁδηγός, τὸ Μετεώρου καύχημα, τούτου τοῦ γηλόφου τοῦ ἱεροῦ, δομήτωρ καὶ προστάτης, ἐπίσκοπος καὶ φύλαξ, ὕμνοις τιμάσθω Ἀθανάσιος. Θεοτοκίον.

Συμφώνως σοι τὸ χαῖρε τοῦ Γαβριήλ, μελῳδοῦντες προσάγωμεν Δέσποινα, ἡ θαυμαστή, χαῖρε τῶν Πατέρων δόξα σεμνή, τὸ τῶν μαρτύρων καύχημα, τῆς ὁμολογίας ἡ ἁπλανής, χαῖρε Παρθένε θύρα, τῶν διδασκάλων χαῖρε, τὸ θεῖον κράτος καὶ ἐξαίρετον.

Ἐξαποστειλάριον. Τοῖς μαθηταῖς συνέλθωμεν.

Τοῖς μαθηταῖς σου ἔλεγες, Πάτερ τέκνα μου δεῦτε, λαμπροὶ λαμπρῶς ἀνίωμεν, εἰς τὸ ὄρος καλοῦντι, Χριστῷ περιπατήσωμεν, εὐσχημόνως ἡμέρας, ὅπως μὴ ἀπολέσωμεν, τὴν ὁδὸν τὴν εὐθείαν, τὴν πρὸς ζωήν, τὴν ἀγήρω ἄγουσαν δεῦτε πάντες βλέψωμεν φῶς ἀΐδιον, φῶς μηδέποτε λῆγον. Θεοτοκίον. Ὅμοιον

Χαῖρε χαρᾶς ἡ πρόξενος, τῆς ἀρᾶς χαῖρε λύσις, χαῖρε Ἀδὰμ ἀνάστασις, χαῖρε πτῶσις δαιμόνων, τῶν γυναικῶν τῆς αἰσχύνης, χαῖρε ἡ ἀναιρέτις τοῦ ᾅδου χαῖρε κένωσις, ἡ φθορὰ τοῦ θανάτου, ἁγιασμός, τῆς ἀνθρώπων, φύσεως χαῖρε κόρη ἡ πάντων Δέσποινα, τοῦ Θεοῦ χαῖρε Μήτηρ, Εἰς τοὺς Αἴνους, στιχ. δ'.

*ἦχος δ'. Ἔδωκας σημείωσιν.*

Ἔδωκας μακάριε, οὐδ' ὑπωσοῦν τοῖς βλεφάροις σου, νυσταγμὸν οὐδ' ἀνάπαυσιν, μικρὰν τοῖς κροτάφοις σου, ἕως ὅτου εὗρες, τόπον τῷ Κυρίῳ, οὐκ ἐν πεδίοις εὐφραθᾶ, ἀλλ' ἐν τοῖς ὄρεσι, καὶ ἀνήγειρας, ναὸν ψάλλων ἀνάστηθι, εἰς σὴν ἀνάπαυσιν Κύριε· ὃν γὰρ οἶκον ἀνέστησα, φέρων σοὶ ἀνατίθημι.

Οὕντως σὺ μακάριος, Ἀβὶδ ὁ θεῖος ὡς ἔφησε· δένδρον γὰρ εὐσκιόφυλλον, ὡράθης ἀοίδιμε, ἐν ταῖς διεξόδοις, τῶν θείων ὑδάτων, καὶ φυτευθέν, καὶ αὐξηθέν, βρύον καρποῖς πρὸ ὥρας κυπρίζουσιν, ἀθανασίας ἔνδοξε, τρέφον, σκιάζον τὰ τέκνα σου· ὧν προϊστασθαι πάντοτε, μὴ ἐλλίπης ἀοίδιμε.

Ὁ πάντα τῷ νεύματι, παραγαγὼν ὡς φιλάνθρωπος, τὰ μὴ ὄντα τὸ πρότερον, καὶ τοῦτον ἀνέστησε, τὸν ἅγιον οἶκον, ὥσπερ ὑπηρέταις, ὑμῖν χρησάμενος σοφοῖς, εἰς τὸ προσφέρειν, θυσίας πάντοτε, αὐτῷ καὶ προσκυνεῖν πιστῶς, Πατέρα, Λόγον, σὺν Πνεύματι, ἐν τρισὶν ὑποστάσεσι, ἁπλῆν μίαν θεότητα.

*Δόξα, ἦχος ά.*

Εἰς τὸ ὄρος, συμβολικῶς τοὺς σοὺς ἀνήγαγες, διὰ τὴν χαμόθεν ἔπαρσιν, αὐτῶν τοῦ φρονήματος, οἳ καὶ τὴν πρόσκαιρον ζωήν, τῆς ἀϊδίου μὴ προκρίνειν, παρὰ σοῦ διδαχθέντες· ἄνω πρὸς οὐρανὸν ἦραν τὰ ὄμματα, ἐν ἔργοις βιωτικοῖς ἐμβιωτεύσαντες μηδέ ποτε, ἀλλὰ πνευματικοῖς· ὅθεν καὶ συναυλισθῆναι, εἰς οὐρανοὺς κατηξίωσε, Χριστὸς ὁ Θεός, ἅμα σὺν σοὶ Ἀθανάσιε.

*Καὶ νῦν. Θεοτοκίον, ἢ τῆς Ἑορτῆς. Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν. Ζήτει Ἀκολουθίαν Ὁσιακήν.*

---

# ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

## ΤΟΥ ΟΣΙΟΥ

## ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΜΕΤΕΩΡΙΤΟΥ

*Μεταφρασθεὶς εἰς τὴν κοινὴν γλῶσσαν.*

Οὗτος ὁ ὅσιος καὶ θεοφόρος πατὴρ ἡμῶν Ἀθανάσιος, ἦτο ἀπὸ τὰ μέρη τῆς Ἑλλάδος, πατρίδα ἔχων τὴν καλουμένην Νέαν Πάτραν, καὶ κοινότερον Πατρατζίκι ἐν ἔτει ἀτί(1310) υἱὸς γονέων πλουσίων καὶ ἐπιφανῶν καὶ ἡ μὲν μητέρατου ἀφοῦ ἐγέννησε τὸν Ἅγιον, ἀπὸ τὰς πολλὰς ὀδύνας καὶ πόνους τῆς γεννήσεως ἀνεπαύθη ἐν Κυρίῳ, ὁ δὲ πατήρ του ὀλίγον καιρὸν ζήσας ὕστερον ἀνεπαύθη καὶ αὐτός, ἀφήσας τὸν υἱόν του εἰς τὸν ἴδιόν του ἀδελφόν, ὁ ὁποῖος τὸν ἐπεμελεῖτο ὡς γνήσιόν του τέκνον, δίδων εἰς αὐτὸ ὅλα τὰ ἀναγκαῖα πρὸς ζωοτροφίαν,

ἀκόμη τὸν ἐπεμελεῖτο καὶ εἰς τὴν μάθησιν τῶν ἱερῶν γραμμάτων· ὁπόταν δὲν ἐλεηλατήθη ἡ Νέα Πάτρα ἀπὸ τοὺς Φράγκους μαζῆ μὲ τοὺς ἄλλους πλησιαχώρους αἰχμαλωτίσθη ἀπὸ αὐτοὺς καὶ τὸ παιδίον· καὶ βλέπωντάς του ὁ πρῶτος τῶν Φράγγων ἀστεῖον, τοὐτέστι καλοπρόσωπον, συνετὸν καὶ χαριτωμένον, ἠβουλήθη νὰ τὸ στείλη εἰς τὴν οἰκίαν του, ὡσὰν ἕνα ζωντανὸν λάφυρον, τοῦτο γνωρίζων ὁ νέος ἔφυγε καὶ ἐγλύττωσε· μὲ τὸ νὰ ἐλευθερώθη ὅμως ὁ νέος, ὑπῆγεν εἰς τὸν θεῖόν του, ὁ ὁποῖος ἦτο καὶ αὐτὸς ἐξόριστος εἰς κἄποιον μακρυνὸν τόπον. Ἐκεῖθεν ἀπέπλευσεν εἰς τὴν Θεσσαλονίκην ὁμοῦ μὲ τὸν θεῖόν του, τὸν ὁποῖον πιάνοντάς ἀσθένεια ὅπου ὀνομάζεται ἀρθρῖτις, εἰς τὴν μονὴν ὅπου λέγεται τοῦ Ἀκαπνίου ἐτελεύτησεν ἐκεῖ. Ὁ δὲ ἀνεψιός του ὁ Ἀνδρόνικος (διότι οὕτω, ὠνομάζετο τότε ὁ Ἅγιος) οἰκειοποιήθη καὶ ἔγεινεν ἐδικὸς εἰς ἄνθρωπόν τινα ὅπου ἦτο ὑπογραφεὺς τῶν βασιλικῶν ὁρισμῶν, μὲ τὸν ὁποῖον συναναστρεφόμενος μερικὸν καιρὸν τοῦ ἦλθε πόθος νὰ μάθη τὴν ἔξωθεν σοφίαν, ἤγουν τὰ ἑλληνικὰ μαθήματα· καὶ μὴ ἔχων ἔξοδα νὰ δώσῃ τῶν διδασκάλων διὰ τὸ μάθημα, ἐστέκετο ἔξω ἀπὸ τὰ σχολεῖα καὶ ἠκροάζετο. Μερικοὶ δὲ ἀπὸ τοὺς σχολαστικοὺς φιλοσόφους βλέποντες τὴν καρτερίαν καὶ προθυμίαν του τὸν ἐδίδασκον δωρεὰν ἀπὸ τοὺς ὁποίους διδασκάλους μὲ τὸ νὰ ἔλαβεν ὀλίγα τινὰ καὶ ἀρκετὰ μαθήματα, ἀπὸ τὴν εὐφυΐαν του καὶ ὀξύτητα τοῦ νοός του ἀπεφάσισε νὰ περιπατήσῃ μερικὰ μέρη τῆς γῆς. Καὶ λοιπὸν εὐγαίνοντας ἀπὸ τὴν Θεσσαλονίκην, ἔφθασεν εἰς τὸ Ἅγιον Ὄρος, καὶ ἐκεῖ συναναστρεφόμενος καὶ συνομιλῶν μέ τινας Πατέρας καὶ ζητῶν εὐχὴν καὶ εὐλογίαν, ηὐλογήθη μὲν ἀπὸ ἐκείνους, ἀμὴ νὰ ἀπομείνῃ εἰς τὸν τόπον δὲν ἐσυγχωρήθη διὰ τὸ πολλὰ νέον τῆς ἡλικίας του καὶ ἀγένειον. Ἀπ' ἐκεῖ πάλιν ἀπὸ τὸ Ἅγιον Ὄρος διαπερνῶντας, ἔρχεται εἰς τὴν Κωνσταντινούπολιν καὶ προσκυνῶντας καὶ ἐκεῖ τοὺς θείους καὶ ἱεροὺς ναούς, κατησπάζετο τὰ τίμια λείψανα τῶν Ἁγίων· ἐσυγκατοικοῦσε δὲ μὲ δύο τινὰς μοναχοὺς οἱ ὁποῖοι καὶ τὸν ἐβίαζαν νὰ τοὺς ἐξουσιάζῃ καὶ νὰ τοὺς προστάζῃ, ὡσὰν τὸν εἶδον πῶς εἶναι ἀπὸ γένος ἔντιμον· ἀλλ' αὐτὸς δὲν ἤθελε τὸ ἀκούσῃ τοῦτο παντάπασι λέγων, πῶς ἄτοπον καὶ ἄπρεπον πρᾶγμα εἶναι, ἐγὼ ὅπου εἶμαι κοσμικὸς καὶ νέος νὰ προστάζω ἐσᾶς ὅπου εἶσθε μοναχοὶ καὶ γέροντες. Καὶ πάλιν δὲ ὁμιλῶντας καὶ συναναστρεφόμενος μὲ πολλοὺς Πατέρας λογίους καὶ ἐναρέτους, μὲ τὸν Γρηγόριον τὸν Σιναΐτην, μὲ τὸν Δανιὴλ τὸν ἡσυχαστήν, μὲ τὸν Ἰσίδωρον ὅπου ἔγεινεν ὕστερον Πατριάρχης Κωνσταντινουπόλεως, μὲ τὸν Ἀκίνδυνον ὅπου ἐδογμάτισεν ὕστερον κακῶς καὶ σφαλερῶς, πλὴν δὲν ἦτο ἀκόμη τέτοιος·

ἀπὸ τοὺς ὁποίους ὡσὰν ἡ σοφὴ καὶ κοπιαστικὴ μέλισσα συναθροίσας εἰς ἑαυτὸν τὰ χρήσιμα πρὸς ἀρετὴν καὶ ἀναγκαῖα, καὶ ἐμβαίνοντας εἰς καράβιον διαπερᾷ καὶ ἔρχεται εἰς τὴν νῆσον Κρήτην, καὶ μαθαίνοντας πῶς ἐκεῖνος ὅπου τὸν ἐφιλοξένισεν εἰς τὴν Κρήτην εἶναι ἄνθρωπος φιλόπτωχος, ἐζήτησεν ἀπ' αὐτὸν νὰ τοῦ γένῃ βοηθὸς εἰς τὴν ἀναγκαίαν χρείαν καὶ ζωτροφίαν του· ἔκλινε δὲ εἰς τὸ ζήτημά του ὁ ἄνθρωπος ἐκεῖνος μετὰ πάσης προθυμίας, ἕνα ἀπὸ τὰ δύο ἐλπίζοντας νὰ ὠφεληθῇ ἀπὸ λόγου του, διότι εἰ μὲν καὶ γένῃ ἐργάτης τῆς ἀρετῆς νὰ λάβῃ τὸν μισθὸν ἀπὸ τὸν Θεόν, εἰ δὲ καὶ γυρίσει εἰς τὴν κοσμικὴν ζωὴν νὰ πάρῃ τὴν ἰδίαν του θυγατέρα εἰς κοινωνίαν γάμου, τὸ ὁποῖον τοῦτο καὶ τὸ ἀγαποῦσε περισσότερον, διότι ἦτο καλοαπόδεκτος καὶ ἠγαπημένος εἰς τοὺς πολλοὺς διὰ τὴν ὡραιότητά του καὶ διὰ τὴν λογιότητά του, αὐτοῦ κοντὰ ὅπου ἤρχισε νὰ γενειάσῃ. Ἡσυχάζωντας λοιπὸν εἰς ἐρημικώτερον τόπον ἔπαιρνε τὴν τροφὴν ἀπὸ τὸν ἄνθρωπον ὅπου προείπαμεν, ὁ ὁποῖος καὶ ἐπαρακαλοῦσε τὸν Ἀνδρόνικον νὰ πηγαίνῃ πρὸς αὐτὸν συχνότερα διὰ νὰ συνομιλοῦν· ἀλλὰ μὲ τὸ νὰ ἐκατάλαβεν ὁ Ἀνδρόνικος πῶς τοῦτο νὰ εἶναι πανουργία καὶ ἀπάτη τοῦ ἐχθροῦ διαβόλου, διὰ νὰ τραβηχθῇ μὲ τοῦτον τὸν τρόπον εἰς τὴν φιλίαν τοῦ κόσμου, φεύγει ἀπὸ ἐκεῖ καὶ ἔρχεται πάλιν δευτέραν φορὰν εἰς τὸ Ἅγιον Ὄρος· καὶ πηγαίνοντας εἰς τὴν σκήτην ὅπου λέγεται τοῦ Μαγουλᾶ, (ἡ ὁποία εὑρίσκεται τὴν σήμερον εἰς τὴν ἱερὰν καὶ βασιλικὴν μονὴν τῶν Ἰβήρων ὑποκειμένη) μανθάνει ἀπὸ κάποιον κάλλιστον Ἱερομόναχον, πῶς εἰς τὸν τόπον ὅπου λέγεται Μηλαία, κάθονται δύο τινὲς μοναχοί, Γρηγόριος ἱερομόναχος καὶ Μωσῆς τὰ ὀνόματά των ὅπου ἔφθασαν εἰς τὸ ἄκρον τῆς ἀρετῆς καὶ πηγαίνοντας εἰς αὐτοὺς τοὺς παρεκάλει νὰ τὸν δεχθοῦν καὶ αὐτοὶ δὲν ἤθελαν νὰ συγκατανεύσουν καὶ νὰ τὸν ἀκούσουν. Ἔπειτα βλέποντες τὴν προθυμίαν του καὶ τὴν παρακάλεσίν του τὸν ὑπεδέχθησαν, καὶ κουρεύοντάς τον ὁ ἱερὸς Γρηγόριος ἱερομόναχος ὤν, τὸν μετωνόμασεν Ἀντώνιον, ὄντας ἐτῶν τριάκοντα· μετὰ δὲ ταῦτα τὸν ἐνέδυσε καὶ τὸ ἅγιον σχῆμα καὶ τὸν ἐπωνόμασεν Ἀθανάσιον. Καὶ λοιπὸν μὲ τὸ νὰ ἐθερμάνθη ἡ καρδία του ἀπὸ θεϊκὸν πόθον καὶ νὰ ἐνδυναμώθη ἀπὸ τὴν πίστιν ὅπου εἶχε πρὸς ἐκείνους τοὺς ἀοιδίμους καὶ ἀειμνήστους γέροντας, ἔκαμνεν ὅλας τὰς ὑπηρεσίας χωρὶς κανένα βάρος. Διατὶ ἔχοντες τὴν κατοικίαν εἰς τὸ ὑψηλότατον ὄρος τοῦ Ἄθωνος, κάτω εἰς ταῖς ποδίαις του ὁ τόπος μὲν ἐκαλεῖτο Μηλαία, ἀλλὰ δὲν ἦτο δυνατὸν νὰ βλαστήσῃ ἐκεῖ φυτὸν Μηλαίας, διὰ τὴν ψύχραν τοῦ τόπου, μόνον κουκουναρίαις ἦτον ὑψηλόκορμαις καὶ κέδροι πυκνότατοι. Ἐκεῖ λοιπὸν καθὼς εἶπα, ἡσυχάζοντες οὗτοι οἱ

μακάριοι, ὁ Ἀθανάσιος ὡσὰν ἕνα θεϊκὸν ὑποζύγιον καὶ κτῆνος βαστῶντας ἐπάνω εἰς τοὺς ὤμους του τὸ φόρτωμα ὅπου ἠμποροῦσε νὰ τὸ σηκώνῃ ἕνα μουλάρι, ἢ ἄλλο ζῶον καὶ περιτριγυρίζοντας τὰ μοναστήρια ἔφερνεν εἰς τοὺς πατέρας τὰ χρειώδη πράγματα καὶ τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα. Ἐκεῖ οὖν διὰ τὴν ὑψηλότητα τοῦ βουνοῦ καὶ διὰ τὴν ψυχρότητα τοῦ τόπου, συνείθιζε νὰ πίπτῃ πολὺ χιόνι καὶ ἀνίσως ἤθελε συμβῆ καὶ γείνῃ τοῦτο εἰς τὴν ὁδὸν νὰ ἐμποδισθῇ ἀπὸ τὸν χειμῶνα καὶ ἀπὸ τὸ μακρυνὸν τοῦ τόπου, καὶ νὰ μὴ φθάσῃ εἰς τὸ κελλί, ἀκουμβῶντας εἰς καμμίαν κουφωμάδα πέτρας, ἢ εἰς καμμίαν ρίζαν ἐλάτου, ἐκαρτεροῦσεν ἐκεῖ ἕως ὅτου νὰ φθάσῃ ἁρμόδιος καιρὸς διὰ νὰ ὑπάγῃ. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν, μὲ τὸ νὰ ἐπλεόνασεν ὁ χειμῶνας, καὶ αὐτὸς καθεζόμενος ὑποκάτω εἰς τὸ φυτόν, καὶ μὴ δυνάμενος οὔτε ἔμπροσθεν νὰ ὑπάγῃ, οὔτε ὄπισθεν, ἐπειδὴ καὶ νὰ ἐσκέπασε τὸ χιόνι ὅλα τὰ δένδρα, καὶ ἐπάγωσεν ὡσὰν κρύσταλλος, ἐκεῖνος θαρρῶντας εἰς τὴν εὐχὴν τῶν Πατέρων καὶ ἁρματώνοντας τοῦ λόγου του μὲ τὸ σημεῖον τοῦ τιμίου σταυροῦ, δένοντας μὲ τὰ φορέματά του τὰ ποδάρια του, καὶ πηγαίνοντας ἐπάνω εἰς τὸ χιόνι, ἐφέρετο εἰς τὸν κατήφορον ὡσὰν εἰς μίαν θάλασσαν Ὁδηγηθεὶς δὲ ἀπὸ θείαν νεῦσιν καὶ βούλησιν, ἔπεσεν ἀπὸ τὸ ὕψος κάτω εἰς ἕνα κελλὶ τριῶν ἀδελφῶν, οἱ ὁποῖοι καὶ βλέποντές τον ἔξαφνα καὶ ἀνέλπιστα, ἐδόξασαν τὸν Παντοδύναμον Θεὸν ὅπου τὸν διεφύλαξεν. Ἐπειδὴ λοιπὸν καὶ τὸν ἐθέρμαναν καὶ τοῦ ἔδωκαν καὶ τροφὴν συνευρίσκετο κοντὰ εἰς αὐτοὺς ἕως ὅπου ἔγεινε καιρὸς νὰ ὑπάγῃ εἰς τοὺς Πατέρας του, οἱ ὁποῖοι καὶ ὅταν τὸν εἶδον μεγάλως ἐχάρησαν· διότι ἤλπιζον ὅτι θὰ ἀπέθανεν ἀπὸ τὸν ὑπερβολικὸν χειμῶνα, ἀμὴ αὐτὸς ἐφυλάσσετο ὑπὸ Θεοῦ, διὰ τὴν ὕστερον ἀναλάμψασαν αὐτοῦ ἀρετήν. Ἐπειδὴ λοιπὸν νὰ ἐξεχώρησεν ἐκείνη ἡ θαυμαστὴ ἀδελφότης, διὰ τὸν φόβον τῶν Ἀγαρηνῶν, οἱ ὁποῖοι δὲν ἔπαυον πάντοτε νὰ ἐνοχλοῦν τὸ Ἅγιον Ὄρος διὰ θαλάσσης, ὁ μὲν Μωϋσῆς ὑπῆγεν εἰς τὸ μοναστήριον τῶν Ἰβήρων, ὁ δὲ θεῖος Γρηγόριος πέρνωντας τὸν Ἀθανάσιον εὐγῆκεν ἀπὸ τὸ Ἅγιον Ὄρος, διαπεράσας δὲ ἦλθεν εἰς τὴν Θεσσαλονίκην καὶ εἰς τὴν Βέρροιαν, πολλοὶ δὲ ἀπὸ τοὺς εὐγενεῖς καὶ πλουσίους ἤθελαν νὰ τοὺς ὑποδεχθοῦν καὶ νὰ τοὺς ἀναπαύσουν, ἀλλὰ δὲν ἠθέλησεν ὁ γέρων διότι ἔβλεπε καὶ τὸν Ἀθανάσιον ὅπου δὲν ἀγαποῦσε τὰς πολιτικὰς καὶ κοσμικὰς διατριβάς, ὡς ἐραστὴς τῆς ἡσυχίας. Μαθὼν δὲ ὁ Γέρων ἀπὸ τὸν ἐπίσκοπον Σερβίων Ἰάκωβον διὰ τοὺς Σταγούς, ἔτζη εἶναι, λέγει, μικρὰ πόλις ἀναμεταξὺ εἰς τὰ σύνορα τῶν Ἰωαννίνων καὶ τῆς Βλαχίας (Βλαχία δὲ ἐλέγετο πρῶτον ἡ δευτέρα Θεσσαλία, ἤγουν τὰ μέρη τῆς Λαρίσσης) καὶ εἰς αὐτὸν τόπον στέκονται λίθοι

ὑψηλοὶ καὶ μεγάλοι ἀπὸ κτίσεως κόσμου, ὅπου ἐστερεώθησαν τοιουτοτρόπως ἀπὸ τὸν Δημιουργὸν Θεόν· ἀνίσως λοιπὸν ἀγαπᾷς νὰ κατοικήσῃς ἐκεῖ ὕπαγε, ὁ δὲ γέρων ὁμοῦ μὲ τὸν Ἀθανάσιον πηγαίνοντες ἐκεῖ εἰς τὸν τόπον, τοὺς μὲν λίθους τοὺς εὗρῆκαν καθὼς ἤκουσαν, ἀμὴ κανένας νὰ κατοικῇ ἐκεῖ δὲν ἦτο, πάρεξ σαρκοφάγα ὄρνεα γῦπες δηλαδὴ καὶ κόρακες.

Ἕνας δὲ μόνος λίθος ἀπ' αὐτοὺς ὅπου εἶναι κοντὰ εἰς τὴν πόλιν ὅπου ἐκατοικήθη ἀπὸ τὸν παλαιὸν καιρὸν καθὼς λέγουσιν ἀπὸ ἕνα βοσκόν, ὁ ὁποῖος τυπώνων καὶ ναὸν γλυπτὸν εἰς τὴν πέτραν εἰς ὄνομα τῶν Ταξιαρχῶν, τὸν ἐπωνόμασε στύλον, καὶ εἰς αὐτὸν ἐπέρασαν μερικὸν καιρόν.

Ὁ δὲ θεῖος Γρηγόριος ἀποβλέπων εἰς τὴν ὑπερβολικὴν σκληρότητα τοῦ τόπου, ἠβουλήθη νὰ κατέβῃ κάτω, καὶ νὰ γυρίσῃ εἰς τὰ ὀπίσω, ὁ δὲ Ἀθανάσιος γνωρίζων καὶ θέλων νὰ δώσῃ θάρρος τοῦ γέροντος, τοῦ γίνεται ἐγγυητὴς ἀξιόχρεως, καὶ λέγει, ἀνίσως καὶ βούλεσαι Πάτερ νὰ ἀπομείνῃς εἰς τοῦτον τὸν τόπον, καὶ μὴν ἀμφιβάλλῃς διὰ τὴν ἔνδειαν καὶ στέρησιν τῶν ἀναγκαίων, διότι ἐλπίζων εἰς τὸν Θεόν, καὶ εἰς τὰς ἰδικάς σου εὐχάς, σοῦ ὑπόσχομαι πῶς ποτὲ δὲν θέλεις ὑστερηθῇ ἀπὸ ἄρτον, οἶνον, καὶ ἔλαιον· αὐτοὺς τοὺς λόγους ἀκούων ὁ γέρων ἔκλινεν ἡ γνώμη του νὰ ἀπομείνῃ· καὶ ἀπὸ τότε καὶ ὕστερον εἶχον ὅλα τὰ ἀναγκαῖα πρὸς ζωοτροφίαν· διὰ τί καθὼς τὸ ἐμαθον ἐκεῖνοι ὅπου ἐκατοικοῦσαν ἐκεῖ πλησίον, οἱ γείτονες δηλ. καὶ ξένοι, ἐσυναθροίζοντο πανταχόθεν πολλοὶ πρὸς αὐτούς, διὰ νὰ συνομιλήσουν πνευματικῶς, καὶ λάβουν καὶ τὴν εὐλογίαν τοῦ γέροντος, οἱ ὁποῖοι ἔφερον καὶ τὰ ἀναγκαῖα καὶ χρειώδη εἰς αὐτούς.

Ὅταν δὲ ἦλθον καὶ ἄλλοι τινὲς ἀδελφοί, καὶ τοὺς ἐδέχθη καὶ τούτους ὁ γέρων, τὸν Ἀθανάσιον ἔπαυσε τῆς ὑπηρεσίας, καὶ τὸν διέταξε νὰ ἡσυχάζῃ τὰς πέντε ἡμέρας τῆς ἑβδομάδος, ὃ καὶ ἐποίησε· φθάσας λοιπὸν εἰς μίαν κουφωμάδα τῆς πέτρας, ἔκαμεν ἐκεῖ τὰς διωρισμένας πέντε ἡμέρας τῆς ἑβδομάδος, καὶ διὰ νὰ μὴν κάθηται ἀργὸς καὶ ἀμελῇ χωρὶς ἐργόχειρον ἔπλεκε μαλλία, ψάλλων καὶ τοῦτο καθ' ἑαυτόν, ψυχὴ ἐγκρατεύου διὰ νὰ σωθῇς, σῶμα ἐργάζου διὰ νὰ τραφῇς. Ἡσυχάζων λοιπὸν ὁ Ἀθανάσιος εἰς τὴν κουφωμάδα τῆς πέτρας, βλέπει ὁ γέρων μίαν νύκτα τοὺς δαίμονας ὅπου περιεκύκλωσαν τὸ σπήλαιον τοῦ Ἀθανασίου, καὶ ἐσπούδαζαν νὰ τὸν κρημνίσουν κάτω, διότι ἦτον ἀπὸ κάτω ἕνα χάος βαθύτατον. Διὰ τοῦτο δὲν τὸν ἄφησε πλέον νὰ ἡσυχάζῃ ἐκεῖ, ἀλλὰ τὸν ἐπρόσταξε νὰ κάθηται εἰς τὸ ἄλλο μέρος τοῦ στύλου· μὲ τὸ νὰ ἦτον δὲ τοῦτο τὸ μέρος τοῦ στύλου πλησίον τῆς πόλεως, καὶ νὰ τοῦ ἔκαμνε θόρυβον πολλὴν καὶ σύγχυσιν τοῦ ἐβαρυφάνη· ἐπαρεκάλεσε δὲ τὸν

γέροντα, καὶ τὸν ἐκατάπεισε νὰ κατέβῃ ἀπὸ τὸν στύλον, καὶ νὰ καθίσῃ εἰς τὸ ἐρημικώτερον μέρος τῆς πέτρας.

Καταβαίνων λοιπὸν ὁ γέρων μὲ τὸν Ἀθανάσιον, καὶ ἐρευνῶν καὶ ζητῶν τὸν ἁρμόδιον τόπον καὶ ἐπιτήδειον εἰς τὸ νὰ κτίσῃ κελλί, τὸν ἄφησεν ἐκεῖ νὰ ἡσυχάζῃ τὰς ἓξ ἡμέρας τῆς ἑβδομάδος, καὶ εἰς τὴν ἀγρυπνίαν τῆς Κυριακῆς νὰ ἀνεβαίνῃ ἐπάνω εἰς τὸν στύλον· οὕτω λοιπὸν ὁ Ἀθανάσιος ποιῶν, καὶ συμψάλλων, καὶ συναγρυπνῶν μὲ τοὺς ἀδελφούς, καὶ μεταλαμβάνων τὰ θεῖα Μυστήρια, καὶ συντρώγων μὲ αὐτούς, πάλιν ἐκατέβαινεν εἰς τὸ κελλί· κάμνων λοιπὸν ἐκεῖ ἱκανὸν καιρόν, ἐν μιᾷ τῶν νυκτῶν, μὲ τὸ νὰ ἤλθόν τινες κλέπται, τὸν ἐθορυβοῦσαν καὶ τὸν ἐσύγχιζαν, νομίζοντες νὰ πάρουν τίποτε ἀπὸ τὸ κελλίον του. Βλέπων δὲ ὁ Ἀθανάσιος πῶς δὲν θέλει ὁ ἐχθρὸς νὰ παύσῃ ἀπὸ τοῦ νὰ τοῦ ἐμποδίσῃ τὴν ἡσυχίαν, ἀπεφάσισε νὰ ἀνέβῃ ἐπάνω εἰς μίαν πέτραν, ἡ ὁποία ἦτον ὑψηλοτέρα ἀπὸ τὰς ἄλλας καὶ πλατυτέρα· ταύτην τὴν πέτραν βλέπων ὁ Ἀθανάσιος, καὶ εὐφρανθεὶς κατὰ πολλὰ διὰ τὴν καλήν της θέσιν, ἀναβαίνει πρὸς τὸν γέροντα, καὶ ζητεῖ ἀπὸ αὐτὸν συγχώρησιν διὰ νὰ κατοικήσῃ εἰς αὐτὸν τὸν λίθον, ὁ δὲ γέρων δὲν ἤθελε, διότι ἤθελε νὰ τὸν ἀφήσῃ διάδοχον εἰς τὸν στόλον του. Ἐπειδὴ δὲ τὸν ἐπαρακάλει πολλά, τὸν ἐσυγχώρησε μὲν νὰ κατοικήσῃ εἰς αὐτὸν τὸν λίθον, πλὴν ὄχι μοναχός, ἀλλὰ νὰ πάρῃ μὲ λόγου του καὶ ἄλλους δύο, καὶ παραλαβὼν δύο ἀδελφούς, ἀπὸ τοὺς ὁποίους στέλλων τὸν ἕνα Ἰάκωβον ὀνομαζόμενον εἰς τὸν ἀρχιερέα, τὸν ἐχειροτόνησεν ἱερέα νὰ ἐκτελῇ τὴν θείαν Λειτουργίαν, ὁ δὲ Ἀθανάσιος ᾠκοδόμησε καὶ ναὸν ἔνδον τοῦ σπηλαίου εἰς ὄνομα τῆς Θεομήτορος, καὶ ἐκεῖ ἐποίουν τὴν θείαν Μυσταγωγείαν. Ἐπειδὴ δὲ ὁ γέρων διὰ κάποιαν πεῖραξιν τῶν κρατούντων καὶ ἐξουσιαστῶν, μετατοπίζει πάλιν καὶ ἀναχωρεῖ εἰς τὰ ὄπισθεν.

Τρέχων δὲ ὁ Ἀθανάσιος ὀπίσω του, τὸν φθάνει εἰς τὴν Θεσσαλονίκην, καὶ πίπτων εἰς τοὺς πόδας του, τὸν ἐπαρεκάλεσε νὰ τοῦ ἀκολουθήσῃ ὅπου καὶ ἂν ἤθελεν ὑπάγῃ· ὁ δὲ γέρων δὲν ἠθέλησεν, ἀλλὰ τὸν ἐπρόσταξε νὰ γυρίσῃ ὀπίσω, καὶ νὰ ὑπάγῃ εἰς τὸ κελλὶ ὅπου ἔκτισε, τὸ ὁποῖον καὶ ἀγαποῦσε πολλά· συντροφιάζων λοιπὸν ὁ γέρων τὸν Ἀθανάσιον μὲ ταῖς ἱεραῖς εὐχαῖς του, ἐξεχώρισεν ἕνας ἀπο τὸν ἄλλον μετὰ πολλῶν δακρύων. Ἀφήνων δὲ ὁ Ἀθανάσιος τοὺς ἀδελφοὺς εἰς τὸν στύλον, ἔρχεται εἰς τὸ Μετέωρον· διὰ τι ἔτζι ὠνόμασε τὸν ὑψηλὸν ἐκεῖνον λίθον· συνέρρευσαν δὲ ἐκεῖ καὶ συνέτρεξαν πολλοὶ πρὸς αὐτόν, παρακαλοῦντες αὐτὸν νὰ τοὺς ὑποδεχθῇ· ἀλλὰ αὐτὸς ἀγαπῶν τὴν ἡσυχίαν, ὀλίγους ἐδέχθη εἰς τοὺς ὁποίους ἔδωκε καὶ κανόνα, καὶ τοὺς ἐπρόσταξε πῶς νὰ πολιτεύωνται, καὶ

πῶς νὰ εὐγάνουσι τὴν ἀναγκαίαν των ζωοτροφίαν, καὶ ποίαν πολιτείαν νὰ μεταχειρίζωνται οἱ γέροντες, καὶ ποίαν οἱ νέοι, καὶ ἁπλῶς εἰπεῖν εἰς κοινόβιον πάντας τοὺς ἀδελφοὺς ὅπου ἦλθον τοὺς ἐκατέστησε, καὶ τοὺς ἔδωκε τύπους ἀκριβεῖς καὶ κανόνας πρὸς καλλωπισμὸν καὶ εὐπρέπειαν τῆς κατὰ Θεὸν πολιτείας.

Ἀνήγειρε δὲ καὶ ναοὺς τοῦ Σωτῆρος Χριστοῦ, καὶ τῆς Θεομήτορος, τοὺς ὁποίους καλῶς εὐτρεπίσας, καὶ τελειώσας πάντα τὰ χρειώδη αὐτῶν, εἰς δόξαν Θεοῦ, καὶ τῆς ἀρρήτως γεννησάσης τὸν Κύριον. Ὁ δὲ Ἀθανάσιος τὴν ἄκραν ἡσυχίαν ἀσκήσας, μεγάλα χαρίσματα ἔλαβε παρὰ Θεοῦ, καὶ προφητικὸν καὶ προορατικὸν χάρισμα εἶχε, καὶ μεγάλα θαύματα ἠξιώθη νὰ κάμνῃ καθὼς ἄλλοι συγγραφεῖς κατὰ μέρος λέγουσιν, ἡμεῖς δὲ τῇ συντομίᾳ χρώμενοι, τὰ πολλὰ κατελείψαμεν· Οὕτως λοιπὸν ζήσας ὁ ἀοίδιμος Ἀθανάσιος ὅλον τὸν καιρὸν τῆς ζωῆς του, καὶ μὲ πολλὴν ἐπιμέλειαν τὴν τῶν μοναχῶν ἀδελφῶν πολιτείαν ἀσφαλισάμενος, περὶ τὰ ἑβδομήκοντα ἔτη εἰς νόσον περιέπεσε βαρυτάτην ἀπὸ χυμὸν μελαγχολικόν, καὶ ὅλους ἀσπασάμενος πνευματικῶς, καὶ μετ' εὐχῶν εὐλογήσας, πρὸς ὃν ἐπόθει Κύριον ἐκδημήσας ἀνεπαύθη, ἐν αὐτῇ τῇ τιμίᾳ μάνδρᾳ τοῦ Μετεώρου, οὕτως ὀνομασθέντος παρ' αὐτοῦ, πολλὰ θαύματα καὶ μετὰ τὴν ἁγίαν του κοίμησιν εἰργάσατο. Αὐτὰ λοιπὸν εἶναι τὰ ἔργα τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀθανασίου, αὐτὸς ὁ βίος του, οὕτως ἐπολιτεύθη, οὕτως ἠγωνίσατο, τοιαῦτα χαρίσματα ἔλαβε παρὰ Θεοῦ, τῶν μελλόντων ἀγαθῶν τὴν ἀπόλαυσιν, τὴν ἐν κόλποις Ἀβραὰμ ἀνάπαυσιν, καὶ τὴν οὐράνιον Βασιλείαν. Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν .(1)

***Ὁ ὅσιος ΙΩΑΣΑΦ ὁ συνασκητὴς τοῦ ἀνωτέρω ὁσίου Ἀθανασίου τοῦ ἐν τῷ Μετεώρῳ ἐν εἰρήνῃ τελειοῦται.***

»Ἀθανασίῳ ἐν πόλῳ, Ἰωάσαφ,
»Νῦν συγχορεύεις συμμεριστὴς ὡς πόνων.

***Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν ΕΥΤΥΧΙΟΥ Πατριάρχου Κωνσταντινουπόλεως.*** (2)

Εὐλόγησον Πάτερ,

Οὗτος ὁ μέγας τοῦ Θεοῦ ἄνθρωπος, καὶ Ἀρχιερεὺς Εὐτύχιος, ὑπῆρχεν ἐν τοῖς χρόνοις τοῦ βασιλέως Ἰουστινιανοῦ τοῦ μεγάλου, ἐν ἔτει φλ'. (530)·

(1) Τὸν βίον καὶ τὴν ἀσματικὴν Ἀκολουθίαν τοῦ ὁσίου τούτου συνέγραψεν Ἰουστῖνος ὁ Δεκαδίων.

(2) Ὁ τετυπωμένος συναξαριστὴς κατατάσσει τὴν μνήμην του εἰς τὰς 6 Ἀπριλίου καθὼς καὶ τὸ μηναῖον.

ὥρμητο μὲν ἐκ τῆς τῶν Φρυγῶν ἐπαρχίας· ἐκ χώρας δέ, θεία κώμη προσαγορευομένης. Γεννήτορες δὲ αὐτῷ λαμπροί τε καὶ περίβλεπτοι, κατά τε τὸν πρόσκαιρον πλοῦτον, μᾶλλον δὲ πλέον κατὰ τὸν τῆς ἀρετῆς· Ἀλέξανδρος καὶ Συνεσία καλούμενοι· ὁ μὲν πατὴρ αὐτοῦ τετιμημένος ἦν τῇ τοῦ Σχολαρίου στρατιᾷ. συλλαβοῦσα δὲ ἡ ὄντως φερώνυμος Συνεσία, τοῦτον τὸν θαυμαστὸν Εὐτύχιον, εἶδεν ὅραμα τοιοῦτον· ὡς ἐπὶ τῆς κλίνης ἀνακειμένη, φῶς μέγα περιέλαμψεν αὐτήν· καὶ ταραχθεῖσα ἐπὶ τῷ ξένῳ τῆς ὁράσεως, διελογίζετο, τί ἂν θέλοι εἶναι τὸ φανέν· προεμήνυε δὲ ὅτι, ὁ ἐξ αὐτῆς προελθών, φωτίσαι μέλλει τοὺς ἐν σκότει τῆς ἁμαρτίας καθημένους. Γεννηθεὶς οὖν καὶ ἀπογαλακτισθεὶς ὁ θεῖος Εὐτύχιος, προσηνέχθη τῷ πάππῳ αὐτοῦ Εὐτυχίῳ καὶ αὐτῷ καλουμένῳ· (ἦν γὰρ ἱερεύς, καὶ τῆς Αὐγουστοπόλεως ἐκκλησίας, σκευοφύλαξ). Θεοφιλὴς δὲ ὢν καὶ θαυματουργὸς ἅγιος, ἀνέτρεφε καὶ τὸν θεῖον Εὐτύχιον ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου, διδάσκων αὐτὸν τὰ ἱερὰ γράμματα, καὶ τῶν ἠθῶν τὴν εὐκοσμίαν, καὶ στολισμὸν τῆς ψυχῆς καὶ σώματος. Ἐν παισὶν οὖν τελῶν ὁ ἅγιος, καὶ μένων ἐν τῷ οἴκῳ, ἐν μιᾷ τῶν ἡμερῶν πολλῶν παίδων συνελήλυθότων, ὡς ἔθος τὰ τῆς παιδιᾶς παρ' αὐτῶν ἐτελεῖτο· τί δὲ ἦν; Ἀρχόντων καὶ Ἱερέων προβολαί, ὑπ' ἀλλήλων προβαλλόμεναι· τινὲς δὲ καὶ τὰ ἑαυτῶν ὀνόματα, ἰδιοχείρως ἐν τῷ τοίχῳ κατέγραψαν, μεθ' ἧς ἤθελον ἀξίας ἕκαστος· ὁ δὲ ἅγιος θεόθεν ἐμπνευσθείς, (Εὐτύχιος πατριάρχης) καθὼς ὁρᾶται ἕως τὴν σήμερον. Προεμήνυσε γὰρ τὴν μέλλουσαν αὐτῷ δοθήσεται ἀξίαν τε καὶ χάριν παρὰ τοῦ πατρὸς τῶν φώτων. Δωδεκαετὴς οὖν γεγονὼς παρὰ τῷ πάππῳ αὐτοῦ, καιροῦ καλοῦντος ἐξῆλθε τῆς ἐνεγκαμένης, καὶ ἐπέμφθη εἰς τὴν Βασιλίδα τῶν πόλεων παρὰ τῶν ἰδίων γονέων καὶ τοῦ πάππου αὐτοῦ, χάριν μὲν τῆς ἔξω παιδείας, μᾶλλον δὲ τῆς τοῦ Θεοῦ σοφίας οἰκονομούσης τὰ πάντα, ἵνα ἑτοιμάσῃ αὐτὸν εἰς ἣν ηὐδόκησε διακονίαν. Μετελθὼν οὖν πᾶσαν τὴν ἐγκύκλιον παιδείαν, καὶ ἀποβαλὼν πᾶν τὸ μυθῶδες αὐτῆς, μετήγαγεν ἑαυτὸν ἐπὶ τὴν ἀληθῆ καὶ ὄντως φιλοσοφίαν· ἐννοῶν ὅτι ἡ ἔξω σοφία μωρία ἐστὶ κατὰ τὸν Ἀπόστολον. Πᾶσα γὰρ δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον, ἄνωθεν ἐστι καταβαῖνον ἐκ τοῦ Πατρὸς τῶν φώτων. Βουλεύεται οὖν βουλὴν καλήν· τίς δὲ καὶ ποία ἡ βουλή; τὸ καταλιπεῖν τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ καὶ προσδραμεῖν τῇ Ἀγγελικῷ σχήματι τῶν μοναχῶν. Ὡς δὲ ταῦτα ἦν αὐτῷ μεμελετημένα, γίνεται ἐκ Θεοῦ πρόφασις, κωλύουσα πρὸς μικρὸν τὴν ἐγχείρησιν· ἐν ᾧ γὰρ τὰ τοῦ μονήρους βίου διελογίζετο, προετυπώθη αὐτῷ τὸ τῆς Ἀρχιερωσύνης ἀξίωμα· καὶ δὴ γίνεται παράκλησις τῷ ἁγίῳ παρὰ τοῦ Ἀμασέων ἐπισκόπου καὶ ἄλλων πολλῶν ἐπὶ τῷ γενέσθαι αὐτὸν ἐπίσκοπον τῆς τῶν Λαζιχηνῶν πόλεως· εἶξας οὖν καὶ μὴ θέλων ταῖς ἐπενεχθείσαις αὐτῷ ἀνάγκαις, καὶ λογισάμενος θείαν εἶναι ταύτην τὴν βουλήν, δίδωσιν ἑαυτὸν ὡς ἀρνίον ἄκακον τῷ τῶν Ἀμασέων Ἀρχιερεῖ, διάγοντι τότε ἐν τῇ βασιλευούσῃ τῶν πόλεων.

Χειροτονηθεὶς οὖν ὑπὸ τοῦ Ἀμασείας Ἀναγνώστης, ἐκουρεύθη τὰς τρίχας τῆς κεφαλῆς ἐν τῷ ναῷ τῆς Θεοτόκου, τῷ καλουμένῳ τοῦ Οὐρβικίου. Μετ' οὐ πολὺ δὲ ἐχειροτονήθη διάκονος· καὶ διατρίψας μικρὸν χρόνον ἐν τῇ διακονίᾳ, χειροτονεῖται πρεσβύτερος τριακονταετὴς ὤν· πάντα οὖν κατὰ τοὺς

θείους ὅρους καὶ νόμους τελέσας ἐν τῇ τῶν Λαζίχων ἐπαρχίᾳ, ἐλευθεροῦται τῆς ἐπισκοπικῆς φροντίδος κατὰ θείαν οἰκονομίαν, ἄλλου προβληθέντος εἰς τὴν τῶν Λαζίχων ἐπαρχίαν· διὸ ἀπάρας ἐκ τῆς Βυζαντίδος, ἔρχεται εἰς Ἀμάσειαν, καὶ εἰσελθὼν εἰς τὸ ἐκεῖσε μέγα Μοναστήριον, ἐνεδύθη τὸ μοναχικὸν σχῆμα· ἀναδέχεται δὲ καὶ τὴν φροντίδα τῆς ἡγουμενείας, παντὸς τοῦ ὑπὸ τὴν Μητρόπολιν μοναχικοῦ συστήματος· ὡς δὲ πάντα καλῶς ποιήσας, καὶ πολλοὺς τῷ Θεῷ προσενέγκας διὰ τῆς αὐτοῦ διδασκαλίας καὶ νουθεσίας, τήν τε Μονὴν καλλωπίσας ἔν τε εὐκτηρίοις οἴκοις, καὶ προσόδων προσθήκαις, διετέλει τὸ τῆς ἀρετῆς ἐργαζόμενος, καθ' ἑκάστην προβαίνων ἐν τοῖς ἔμπροσθεν.

Ἐπὶ δὲ τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ μεγάλου συνηθροίζετο ἡ πέμπτη οἰκουμενικὴ Σύνοδος· ὡς οὖν ἐκ πάσης πόλεως οἱ ἀγιώτατοι ἐπίσκοποι μετεστέλλοντο, εἰς ἐξ αὐτῶν ἦν καὶ ὁ τῶν Ἀμασέων Μητροπολίτης· μὴ δυνάμενος δὲ διὰ τὸ γῆρας παραγενέσθαι εἰς τὴν Σύνοδον, προσκαλεσάμενος τὸς ἅγιον, προῦτεινεν αὐτῷ, πορευθῆναι ἀντ' αὐτοῦ, καὶ ἀντιπροσωπεῦσαι αὐτὸν, ὡς ἔμπειρος τῶν θείων δογμάτων καὶ γραφῶν. Ὁ δὲ ἅγιος δυσχεράνας ὡς ὁ πάλαι μέγας Μωϋσῆς, εἶξε καὶ μὴ βουλόμενος, τοῦ Θεοῦ αὐτὸν πληροφορήσαντος. Εἶδε γὰρ ἐν ὁράματι δάκτυλον δεσποτικῆς χειρὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, δεικνύοντα αὐτῷ τὴν κορυφὴν τοῦ ὄρους, καὶ φωνῆς ἀκούει λεγούσης· ἐκεῖ γίνει ἐπίσκοπος. Ποῖον ἆρα τὸ ὄρος εἰκάσειεν ἄν τις ἐκεῖνο, πλὴν τῆς βασιλίδος τῶν πόλεων; ἀπάρας οὖν ἐξ Ἀμασείας ἔρχεται εἰς Βυζαντίδα· καὶ προσελθὼν τῷ ἁγιωτάτῳ πατριάρχῃ Μηνᾷ, ἐμφανίζει αὐτῷ ἑαυτόν. Ὁ δὲ πατριάρχης προετρέπετο τὸν Εὐτύχιον συνδιαμένειν αὐτῷ· τῷ δὲ κλήρῳ αὐτοῦ ἔλεγεν· οὗτος ὁ Μοναχὸς ἔσεταί μου διάδοχος. Αὐτίκα οὖν ἀναπέμπει αὐτὸν πρὸς τὸν Βασιλέα, καὶ κινοῦνται παρ' αὐτῷ οἱ λόγοι, περὶ ἧς παραγέγονεν ὑποθέσεως· καὶ φανεὶς δόκιμος πάσης παιδεύσεως θείας τε καὶ ἀνθρωπίνης, συναίρει λόγους μετὰ τῶν αἱρετικῶν, οἵτινες οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει· ἐπεὶ δὲ τινων λεγόντων, μὴ δεῖν ἀναθεματίζειν τοὺς προαποθανόντας, ὁ ἅγιος ἀπεκρίθη λέγων· καὶ ὁ βασιλεὺς Ἰωσίας, ἀνασκάψας μετὰ θάνατον κατέκαυσε τὰ ὀστᾶ τῶν ἐπιθυσάντων ταῖς δαμάλεσιν· ἐπίσης οὖν δεῖ καὶ τοῖς αἱρετικοῖς κεχρῆσθαι, καὶ μετὰ θάνατον ἀναθεματίζειν αὐτούς.

Θαυμάσας οὖν ὁ βασιλεὺς, καὶ πάντες οἱ παρεστηκότες, πολλῆς ὑποδοχῆς καὶ τιμῆς αὐτὸν ἠξίωσαν· ἐξ αὐτῆς οὖν ἐν πλείονι παρρησίᾳ διῆγεν ἐν ταῖς βασιλικαῖς αὐλαῖς· μετ' οὐ πολλὰς δὲ ἡμέρας, καὶ ὁ προρρηθεὶς πατριάρχης Μηνᾶς, μετέβη πρὸς τὴν ἀγήρω ζωήν. Ὡς οὖν ἐγνώσθη τῷ βασιλεῖ ἡ τοῦ πατριάρχου Μηνᾶ κοίμησις, ἀγὼν πολὺς, καὶ σπουδὴ ἄμετρος τοῖς πολλοῖς ἦν, εἰς τὸ προβάλλεσθαι τοὺς μὴ ἀξίους τοῦ θρόνου, ὑποσχέσεσι καὶ δωροδοκίαις βουλομένοις, πεῖσαι τοὺς δυνάστας τοῦ βασιλέως, εἰ ἴσως ἐπιτύχωσι τῶν ἐλπιζομένων. Ἀλλ' ὁ πάντα ποιῶν καὶ μετασκευάζων Θεὸς, κλίνει τὴν καρδίαν τοῦ βασιλέως εἰς τὸν ἄξιον ἄνδρα Εὐτύχιον, καὶ μετὰ πολλοῦ τοῦ τάχους ἐπιτρέπει, εὑρεθῆναι τὸν μέγαν Εὐτύχιον, καὶ φυλάττεσθαι μετὰ τῆς πρεπούσης τιμῆς.

Ἀλλ' ἀκούσατε καὶ οἵαν ὀπτασίαν εἶδε φυλαττόμενος· ἔλεγε γὰρ ὁ μέγας, ὅτι τῇ νυκτὶ ἐκείνῃ ὑπενόουν οἶκον μέγαν, διάφωτον εἶναι, καὶ κλίνην εὐπρεπῶς ἐστρωμένην· ἐφ ἣν ἀνέκειτο γυνή, ὀνόματι Σοφία, ἥ καὶ προσκαλεσαμένη με, ὑπεδείκνυέ μοι κόσμια· μετὰ δὲ τοῦτο, ἐθεώρουν τὸ παρακείμενον ἡλιακὸν τῷ οἴκῳ, χιόνος πεπληρωμένον· καὶ παιδίον ἱστάμενον ἐν τῷ ἡλιακῷ ὀνόματι, Σωτήριχος, ὅπερ ἤμελλεν ἐκ τοῦ ἡλιακοῦ πίπτειν. Φθάσας δὲ ἐγὼ ἀνειλόμην αὐτὸ ἐκ τῆς χιόνος τοῦ μὴ πεσεῖν· τί δὲ ἆρα τοῦτο ἐδήλου, ἀλλ' ἢ τὴν ἐπιμέλειαν καὶ φροντίδα τῆς ἐκκλησίας; τοῦτο γὰρ τὰ κόσμια· τὸ δὲ ἐν τῇ χιόνι τὸ παιδίον εἶναι, τὸ ἐν χειμασίᾳ τὰ δογματικὰ ὑπάρχειν· ἑκατέρα δὲ τῆς δεούσης ἔτυχε διορθώσεως, διὰ τῆς ἐπιστασίας καὶ κυβερνήσεως τοῦ ἁγίου.

Ὅτε οὖν προέβη τὰ τῆς παραφυλακῆς, θαρρεῖ τὴν βουλήν, ἣν ἐξ ἀρχῆς ἔσχε περὶ αὐτοῦ ὁ φιλόχριστος βασιλεύς, τῷ τε εὐαγεῖ κλήρῳ καὶ τῇ συγκλήτῳ, πληροφορήσας αὐτούς, ὡς καὶ θείαν ὀπτασίαν εἶδε περὶ αὐτοῦ, ἀφυπνώσας ἐν τῷ ναῷ τοῦ κορυφαίου τῶν Ἀποστόλων Πέτρου ἐν τῷ Ἀθύρᾳ· ἦν γὰρ ἔχων ἐκεῖσε Πρόκενσον· «ἑωρακέναι γάρ ἔφασκε τὸν κορυφαῖον Πέτρον καθ' ὕπαρ, ὑποδεικνύντα αὐτῷ τὸν μέγαν Εὐτύχιον, καὶ λέγοντα· τοῦτον ποίησον Ἐπίσκοπον·» μεθ' ὅρκων οὖν πολλῶν διίσχυρίζετο οὕτως ἔχειν· ἰδόντες οὖν τὴν ἔκστασιν τοῦ βασιλέως, καὶ ὡς δι' ὁράσεως αὐτῷ ἀπεδείχθη, πάντες ὁμοθυμαδὸν μιᾷ φωνῇ κοινῇ τε γνώμῃ καὶ ψήφῳ τό, ἄξιος, ἄξιος, πρὸ καιροῦ ἔκραζον.

Πάντων οὖν τῶν ἱερῶν θεσμῶν καὶ κανόνων ἐπ' αὐτῷ τελεσθέντων, χρίεται τῷ ἁγίῳ Πνεύματι, καὶ προσφέρεται τῷ ἁγίῳ θυσιαστηρίῳ, ὁ ὄντως ποιμὴν καὶ διδάσκαλος· αἴρει ἐπὶ τοῦ ὤμου, τὸν τύπον τοῦ πεπλανημένου προβάτου· ἀνέρχεται εἰς τὴν ὑψηλὴν περιωπὴν καὶ καθέδραν τῆς ἐκκλησίας· ἐνιδρύεται τῷ θρόνῳ· μιμεῖται τὸν Ἀρχιποίμενα Χριστὸν εἰς οὐρανοὺς ἀνερχόμενον· φθέγγεται καὶ αὐτὸς τὴν συναπτικὴν καὶ συντηρητικὴν ἐκείνην φωνὴν παντὶ τῷ λαῷ, λέγων· εἰρήνη πᾶσι· πάντα γὰρ τὰ ἐπ' αὐτὸν τελεσθέντα, πάσης εἰρήνης καὶ θείας σοφίας εἰσὶν ἀνάπλεα, καὶ πάντας ἀνθρώπους εἰρηνεύειν καὶ εὐφραίνειν δυνάμενα.

Τούτων οὕτως ἐχόντων, καὶ πάντων τῶν ὑπὸ τῆς ἁγίας καὶ οἰκουμενικῆς πέμπτης Συνόδου, ὡς προέφημεν, διαλυθέντων καὶ ἐξομαλισθέντων ζητημάτων τε καὶ ἀπορημάτων, οὐ βίᾳ οὐκ ἀνάγκῃ, οὐκ ἀντιπαθῶς, οὐ προσπαθῶς, ἀλλ' ἀποδεικτικῶς τε καὶ πιθανῶς: εἰρήνη τις βαθεῖα, καὶ γαλήνη μεγάλη τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ δεδώρηται. Τότε γοῦν καὶ οἱ τέσσαρες πατριάρχαι συνελθόντες ἐπὶ τὸ αὐτό, ὅ,τε Βιγίλιος Ῥώμης, Ἀπολινάριος Ἀλεξανδρείας, Δομνῖνος Ἀντιοχείας, καὶ ὁ μέγας οὗτος Εὐτύχιος, τὴν θείαν μυσταγωγίαν ἐτέλεσαν· πρᾶγμα ὅπερ οὐδέποτε πρότερον ἐγένετο· μετὰ δὲ τοῦτο, ἀπελύθη ἕκαστος τῶν ἱερέων καὶ Ἀρχιερέων εἰς τὴν ἰδίαν πόλιν καὶ ἐπαρχίαν· καὶ οὕτως αἱ πανταχόσε τοῦ Θεοῦ ἐκκλησίαι εἶχον εἰρήνην, πορευόμεναι καὶ οἰκοδομούμεναι τῷ φόβῳ τοῦ Κυρίου, καὶ τῇ παρακλήσει τοῦ ἁγίου Πνεύματος πληθυνόμεναι. Χρόνον οὖν δωδεκαετῆ τὴν λογικὴν τοῦ Χριστοῦ ποιμάνας ποίμνην, ὁ τοῦ Θεοῦ πιστὸς θεράπων Εὐτύχιος, ἐπὶ ὕδατος ἀναπαύσεως, καὶ

τόπον χλόης αὐτὴν κατασκηνώσας, τὸ ἰσχυρὸν φυλάξας, τὸ συντετριμμένον καταδήσας, τὸ ἠσθενηκὸς ἐνισχύσας, τὸ πεπλανημένον ἐπιστρέψας, λόγοις ποιμαντικοῖς ἐπιστήμης ἐμπείρου ποιμένος, ἀεὶ ἀναπολῶν τὸ πρὸς τὸν κορυφαῖον Πέτρον Κυριακὸν λόγιον· «εἰ ἀγαπᾷς με ποίμαινε τὰ πρόβατά μου· εἰ »φιλεῖς με, βόσκε τὰ ἀρνία μου.»

Ἀλλ' οὐκ ἤνεγκεν ἐπὶ πολὺ ὁ φθονερὸς καὶ μισόκαλος ἐχθρὸς διάβολος, βλέπων εὐθυνουμένην καὶ βρίθουσαν τὴν ἄρουραν τοῦ Χριστοῦ, καὶ τὸν σῖτον εὔσταχυν καὶ πολύχουν, εἰς τὸ οὐράνιον ὕψος ἀνατεινόμενον· τί οὖν ποιεῖ ὁ τῶν ζιζανίων σπορεύς; καὶ πῶς ἐμβάλλει τῷ σίτῳ τὴν ἐρυσίβην; ἴδωμεν· ἐπίστασθε πάντες τὸ ζητητικὸν τῶν θείων δογμάτων, τοῦ εὐσεβοῦς Βασιλέως Ἰουστινιανοῦ· πῶς νυκτὸς καὶ ἡμέρας, ὑπὲρ τὴν τῶν ἄλλων φροντίδα εἶχεν ἀεί, ὡς μίαν καὶ μόνην, τοῦ μετὰ πάντων τῶν αἱρετικῶν συζητεῖν, καὶ συναίρειν λόγους· ὃς πάντοτε κατετροποῦτο αὐτοὺς διὰ συλλογισμῶν πιθανῶν, καὶ ἀποδεικτικῶν, καὶ γραφικῶν μαρτυριῶν. Πόθεν δέ; οὐκ οἶδά τις ὁ εἰσηγησάμενος τὴν φευκτικὴν ὄντως καὶ βδελυρὰν ἐκείνην, ἢ μᾶλλον εἰπεῖν νοσοποιὸν δογματοποιΐαν, ὡρμήθη λέγειν, ὡς ἐν εὐλαβείας δῆθεν προσχήματι, ἄφθαρτον τὸ σῶμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξ αὐτῆς ἑνώσεως γεγενῆσθαι. Τίς γὰρ οὕτως ἄφρων, ὁ φάναι τολμῶν ἄφθαρτον τὸ σῶμα τοῦ Κυρίου, ἐξ αὐτῆς ἑνώσεως; εἰ γὰρ τοῦτο δοθήσεται, φαντασία, καὶ οὐκ ἀλήθεια ἡ σάρκωσις καὶ ἡ ἐνανθρώπησις τοῦ Θεοῦ Λόγου γέγονε· πῶς γὰρ σῶμα ἄφθαρτον, ὑποστήσεται Σταυρικὸν πάθος, τρήσεις ἥλων, νύξιν πλευρᾶς, καὶ ταφήν; Τινὲς δὲ τὰ τοῦ Ὠριγένους, Εὐαγρίουτε καὶ Διδύμου φρονοῦντες, κατέπεισαν τὸν Βασιλέα δημοσιεῦσαι τὸ τοιοῦτον βλάσφημον δόγμα· καὶ δή, ἀναγνοὺς δημοσίως τὸν τοιοῦτον βλάσφημον λόγον ὁ Βασιλεύς, προετρέπετο καὶ τὸν ἅγιον συμφρονῆσαι αὐτῷ. Ὁ δὲ ἅγιος Εὐτύχιος, μηδὲν ὑποστειλάμενος, μαλλον δὲ διαμαρτυρόμενος τῷ Βασιλεῖ, πρῶτον μὲν λόγοις παρακλητικοῖς, παραινετικοῖς τε καὶ ἀποδεικτικοῖς παρῄνει τὸν Βασιλέα ἀποσχέσθαι τῆς τοιαύτης κακοδοξίας, ὡς οὐκ ἔστι τῆς ἀποστολικῆς διδοσκαλίας καὶ παραδόσεως· ὡς δὲ οὐκ ἔπειθεν αὐτόν, ἐξεδέχετο λοιπὸν ὑπομεῖναι πᾶσαν κάκωσιν καὶ στενοχωρίαν ὑπὲρ τοῦ ἀληθοῦς δόγματος· αὐτίκα οὖν οἱ τῶν κακῶν σοφισταί, οἱ πάντα δολίως τολμῶντες, εἰσελθόντες εἰς τὸ ἀκροατήριον, ἐμελέτησαν κενὰ καὶ μάταια κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ· καὶ καταπείσαντες τὸν Βασιλέα, πείθουσιν ἐξῶσαι τοῦ θρόνου τὸν ἄξιον ποιμένα Εὐτύχιον, ἀντεισᾶξαι δὲ ἕτερον ὀφείλοντα πρὸς τὸν σκοπὸν αὐτῶν διαγίνεσθαι· ὅπερ καὶ γέγονεν.

Ἑορτῆς γὰρ τελουμένης τοῦ ἁγίου Τιμοθέου ἐν τοῖς Ὁρμίσδα ἐν τῷ νέῳ παλατίῳ, καὶ τοῦ ἁγίου Εὐτυχίου τελοῦντος τὴν θείαν λειτουργίαν, ἐπέβησαν εἰς τὸ εὐαγὲς ἐπισκοπεῖον, ὅτε στρατηγὸς καὶ οἱ ὑπηρέται αὐτοῦ, συλλαμβάνοντες καὶ σύροντες ἀτάκτως τοὺς ὑπηρέτας τοῦ ἁγίου. Γνοὺς δὲ ὁ μέγας τὴν γεγονυῖαν ἔφοδον ἐν τῷ ἐπισκοπείῳ, καὶ ὅτι τινὲς τῶν ἐν αὐτῷ ὑπηρετούντων παρεδόθησαν εἰς φυλακήν, πληρώσας τὴν θείαν λειτουργίαν, ἔμεινεν ἐν τῷ θυσιαστηρίῳ· ἀπηγγέλθη γὰρ αὐτῷ, ὅτι εἰ τῶν ἱερῶν περιβόλων ἐξέλθῃ, καὶ εἰς θάνατον κινδυνεύσειε. Ταῦτα μαθὼν ὁ μακάριος, ἔστη

ἐπίπροσθεν τοῦ θυσιαστηρίου μετὰ τὴν ἀπόλυσιν, φορῶν καὶ τὸ ὠμοφόριον, ἐκτεταμένας ἔχων τὰς χεῖρας, καὶ προσευχόμενος μεχρι τῆς τρίτης ὥρας τῆς νυκτός, παρεκάλει τὸν Θεόν, ἀτάραχον διαφυλάξαι τὴν ἐκκλησίαν, καὶ τὰ ὀρθὰ δόγματα μὴ σαλευθῆναι. Ταῦτα τοῦ ἁγίου προσευχομένου, ἐπέστη αὐτῷ ὁ μέγας θὴρ Αἰθέριος μετὰ μαχαιρῶν καὶ ὅπλων, καὶ ἁρπάσας τὸν ἅγιον, ἀπήγαγεν εἰς τὸ Μοναστήριον, Χωρακούδην καλούμενον, καὶ μετὰ μίαν ἡμέραν, μετέστησαν αὐτὸν ἐν τῷ ἐν Χαλκηδόνι Μοναστηρίῳ τῆς ὁσίας καλουμένῳ.

Μετὰ δὲ ὀγδόην ἡμέραν, συνέδριον ἐκ φατρίας ἐπισκόπων καὶ ἀρχόντων συστησάμενοι, χειροτονίαν ἄθεσμόν τε καὶ ἄτακτον ποιήσαντες, προσεκάλουν τὸν ἅγιον ἀπολογήσασθαι, ὡς δῆθεν λιβέλλων κατ' αὐτοῦ ἐπιδοθέντων τῷ συνεδρίῳ· τί δὲ περιεῖχον οἱ λίβελλοι ; ἀναγκαῖον ἀκοῦσαι, καὶ γελᾶσαι τρανῶς· ὅτι συκοτόφυλα, ἔφασκον, ὀρνιθίων ἔφαγεν, καὶ ὅτι ἐπὶ πολλὰς ὥρας, γονυκλισίας ποιῶν προσηύχετο· ἵνα δὲ τὰ ἐν μέσῳ ἀθυρματώδη καθ' ἕκαστα παρῶ, μεταστήσαντες τὸν ἅγιον ἐκ Χαλκηδόνος, ἀπήγαγον εἰς τὴν νῆσον Πρίγκηπον· διατρίψας δὲ ὁ ἅγιος ἐν τῇ νήσῳ τρεῖς ἑβδομάδας ὑπὸ πολλῶν στρατιωτῶν φυλαττόμενος, πάλιν ἐκρίθη ὑπὸ τῶν αὐτῶν κριτῶν τε καὶ κατηγόρων· ἀλλὰ καὶ αὖθις μηδεμίαν αἰτίαν ἢ πρόφασιν κατὰ τοῦ δικαίου εὔλογον εὑρίσκοντες, ἔβαψαν κάλαμον ὑπερορίου ἀποφάσεως, τὴν τῶν Ἀμασέων μητρόπολιν καταλαμβάνειν, διάγειν τε ἐν τῷ ἑαυτοῦ Μοναστηρίῳ, ὅπερ καὶ γέγονεν· ὡς οὖν τὰ τῆς ἐξορίας ηὐτρέπιστο, καὶ ἡμεῖς λοιπὸν ἦμεν αὐτῷ συνέκδημοι· (συμπαρήμην γὰρ κἀγὼ ὁ ταῦτα γράψας, τῷ ἐμῷ πατρὶ καὶ Δεσπότῃ, ὑπὲρ Χριστοῦ διωκομένῳ). Πολλοὶ δὲ τῶν ἐπισκόπων, καὶ μάλιστα οἱ τῆς Ἀνατολῆς, ἀντέστησαν τῷ αἱρετικῷ δόγματι τοῦ Βασιλέως καὶ τῶν ἀφθαρτοδοκητῶν, γενναίως ἀνταγωνιζόμενοι, καὶ ἐξαιρέτως ὁ τῆς Ἀντιοχείας Πατριάρχης ἅγιος Ἀναστάσιος, τῶν ἴσων μετέσχε κινδύνων τε καὶ στεφάνων, ὡς καὶ ὁ μέγας Εὐτύχιος. Φθάσαντες τοίνυν εἰς Ἀμάσειαν, ἀπῆλθεν ὁ ἅγιος ἐν τῷ ἑαυτοῦ Μοναστηρίῳ μεγάλως εὐχαριστῶν τῷ Θεῷ, τῷ καταξιώσαντι αὐτὸν ἐξορισθῆναι καὶ διωχθῆναι ὑπὲρ τῆς εὐσεβείας, καὶ τοῦ ὀνόματος αὐτοῦ· ὅτι δὲ καὶ χάριτας ἰαμάτων τε καὶ θαυμάτων, ἣν παρὰ Θεοῦ πεπλουτηκώς, ὁ μέγας Εὐτύχιος, τοῦτο ἱκανῶς ὁ λόγος δηλώσει.

## Θαῦμα Α'.

Ἀνδρόγυνον ἦν ἐν Ἀμασείᾳ, πρὸς τὸ παιδοποιῆσαι ἀποτυγχάνοντες· πρὸ γὰρ τοῦ ἐκ γαστρὸς προελθεῖν τὰ τικτόμενα βρέφη, ἀνηρπάζοντο ἄωρα, πένθος ἀπαραμύθητον τοῖς γονεῦσι παρέχοντα· καὶ τὰς μὲν ὀδύνας ὑπέμενον, τῆς δὲ χαρᾶς οὐ μετεῖχον· τί οὖν ποιοῦσι ; καταφεύγουσιν ἐπὶ τὸν Θεόν, τὸν δυνάμενον καὶ διὰ τῶν δούλων αὐτοῦ ζωοποιῆσαι τοὺς νεκρούς· ἔρχονται γοῦν πρὸς τὸν θεῖον Εὐτύχιον, παρακαλοῦντες εὐχὴν αὐτοῖς ποιῆσαι, ὅπως ζήσειεν αὐτῶν τὰ τικτόμενα τέκνα· ὁ δὲ εὐξάμενος αὐτοῖς, ἔχρισεν ἀμφοτέρους τῷ ἁγίῳ ἐλαίῳ, ἐκ τῆς φωταγωγοῦ τοῦ τιμίου Σταυροῦ, καὶ τοῦ βρύοντος ἐκ τῆς ἁγίας εἰκόνος τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, τῆς ἐν Σωζοπόλει οὔσης, εἰπὼν οὕτως· ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

ζήσεται τὸ τικτόμενον βρέφος· (ἦν γὰρ ἔγγυος ἡ γυνή)· καλέσατε δὲ αὐτό, Πέτρον. Παρισταμένου δέ μου, καὶ ἐρώτησιν ποιησαμένου πρὸς τὸ λεχθέν, εἰ θῆλυ τὸ τικτόμενον εἴη, τί ἂν καλέσωσιν; ὁ ἅγιος ἀπεκρίνατο λέγων· οὐχί· ἀλλὰ Πέτρον ὀνομάσουσιν αὐτό, καὶ σώζεται· χαίροντες οὖν ἐπὶ τοῖς λεχθεῖσι, καὶ ὡσανεὶ ἐν ἀγκάλαις βαστάζοντες τὸ μήπω τεχθὲν παιδίον, ἀνεχώρησαν οἴκαδε· τοῦ χρόνου δὲ περαιωθέντος, ἐτέχθη αὐτοῖς υἱός, καθὰ προεῖδέ τε καὶ προεῖπεν ὁ τοῦ Θεοῦ θεράπων Εὐτύχιος· καὶ βαπτίσαντες αὐτό, ὠνόμασαν Πέτρον, κατὰ τὴν παραγγελίαν τοῦ ἁγίου· ἐλθόντες οὖν ἐν τῇ Μονῇ περιεπτύσσοντο τοὺς πόδας τοῦ ἁγίου, ἐξομολογούμενοι ὅσα ἐποίησεν αὐτοῖς ὁ Κύριος, καὶ ὅτι ἐλέησεν αὐτοὺς δι' εὐχῶν αὐτοῦ· ὁ δὲ ἅγιος ἐπιθεὶς τῷ παιδαρίῳ τὰς χεῖρας εὐλόγησεν αὐτό. Μετὰ δὲ ταῦτα ἐτέχθη καὶ ἕτερος αὐτοῖς υἱός, ὃν καὶ ἐνέγκαντες τῷ ἁγίῳ ἐδόξαζον τὸν Θεόν, τὸν δόντα αὐτοῖς εὐλογίας, δι' ἁγίων εὐχῶν αὐτοῦ· ἠρώτησαν δὲ τὸν ἅγιον, πῶς ὀνομάσωσιν αὐτόν· ὁ δὲ εἶπεν· Ἰωάννην καλέσατε αὐτόν, διὰ τὸ ἐν τῷ οἴκῳ Ἰωάννου ἐπακοῦσαι Κύριον τὸν Θεὸν τῆς δεήσεως ὑμῶν· ηὐξήθησαν οὖν τὰ παιδία· καὶ διεφημίσθη ἐν ὅλῃ τῇ πόλει ἐκείνῃ, καὶ ἐδόξαζον ἅπαντες τὸν Θεόν.

## Θαῦμα Β'.

Πρεσβύτερός τις εἶχεν υἱὸν κωφὸν καὶ ἄλαλον, ὡς ἐτῶν δεκατεσσάρων ὃν καὶ φέρει πρὸς τὸν ὅσιον, δεόμενος ὅπως τύχῃ τῆς παρὰ τοῦ Θεοῦ βοηθείας· ποιήσας οὖν εὐχὴν ὁ ὅσιος, καὶ χρίσας πάντα τὰ αἰσθητήρια τοῦ παιδὸς τῷ ἁγίῳ ἐλαίῳ, ἐκάλεσε τὸ ὄνομα τοῦ παιδὸς τρίτον, Νουνεχῆ· (οὕτω γὰρ ἐκαλεῖτο)· καὶ τὴν μὲν πρώτην ἡμέραν, ἀνάρθρως ἀπεκρίνατο· παραμείναντος δὲ τρεῖς ἡμέρας, καὶ χριομένου ἐκ τοῦ ἁγίου ἐλαίου, ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης, καὶ ἦν ἀκούων καὶ λαλῶν διὰ παντός, καὶ αἰνῶν τὸν Θεόν, ὅν τινα παῖδα ἠθέλησεν ὁ πατὴρ καταλεῖψαι ἐν τῇ Μονῇ, ἀλλ' οὐ συνεῖδε τοῦτο γενέσθαι ὁ τοῦ Θεοῦ θεράπων· τοῦτον οὖν ὑγιῆ παραλαβὼν ὁ πρεσβύτης, ἀπῆλθεν εὐλογῶν τὸν Θεόν.

## Θαῦμα Γ'.

Κληρικός τις, ὀνόματι Κύριλλος, εἶχεν υἱὸν πενταετῆ ἄλαλον, ὃν ὡς ἐπὶ πολὺ δὲ καὶ ἄτροφον, μήτε ζωῆς σχεδὸν μετέχοντα, μήτε θανάτου· ἄγει οὖν αὐτὸν τῷ ἁγίῳ, καὶ ποιήσας τὴν συνήθη εὐχήν, μετέδωκεν αὐτῷ τῆς ἀχράντου κοινωνίας· εὐλογήσας δὲ καὶ ἄρτον ἁπλοῦν, δέδωκεν αὐτῷ, καὶ ἀπέλυσεν· ἐξ ἐκείνης οὖν τῆς ἡμέρας, διελύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ, καὶ ἐλάλει καθαρῶς· ἔφαγέ τε καὶ ἔπιε, γενόμενος ὑγιὴς διὰ τῆς χάριτος τοῦ Θεοῦ.

## Θαῦμα Δ'.

Πόλις τίς ἐστι, Ζήλα καλουμένη, πλησίον τῆς Ἀμασείας· τινὲς ἐκεῖθεν ὁρμώμενοι, ἤγαγον παιδίον πρὸς τὸν ὅσιον, λέγοντες αὐτὸ τεσσάρων ἐτῶν ὑπάρχειν, οὐδενὸς μεταλαμβάνον, οὐδὲ αὐτῆς τῆς μητρώας θηλῆς· τοιοῦτον δὲ ἦν, μικροῦ δεῖν ὡς ἄσαρκον καὶ ἀσώματον, μήτε χροιάν, μήτε σαρκὸς ὄγκον ἔχον· ὥστε τοῖς βουλομένοις, δυνατὸν ἦν, πάσας τὰς πλευρὰς αὐτοῦ,

ἁρμονίας τε, καὶ ἀποτάσεις τῶν νεύρων καὶ τῶν ὀστέων ἀριθμεῖν· ὡς οὖν εἶδεν αὐτὸ ὁ θεῖος Εὐτύχιος, οὕτως ἐκτακέν, ἐκτενῶς παρακαλέσας τὸν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι αὐτὸ παραγαγόντα Θεόν, ἔχρισεν ἐκ τοῦ ἁγίου ἐλαίου ὅλον τὸ σῶμα τοῦ παιδός, μεταδοὺς αὐτῷ καὶ τῆς ἀχράντου κοινωνίας· εὐλογήσας δὲ καὶ ἄρτον κοινόν, δέδωκε τοῖς γονεῦσι, παραγγείλας βρέχειν αὐτὸν εἰς ἄκρατον, καὶ οὕτω παρέχειν τῷ παιδί· ποιήσαντες δὲ τοῦτο, ἐπέτυχον τῆς ἐλπίδος· τῇ ἑξῆς γὰρ ἡμέρᾳ ἤγαγον αὐτὸ πρὸς τὸν ἅγιον, πολλὴν διαφορὰν καὶ ἀνάζεσιν τῆς σαρκὸς ἔχον· τῇ δὲ τρίτῃ ἡμέρᾳ, ἄλλο ἐξ ἄλλου εἴδομεν αὐτό· κατεῖχε γὰρ ἄρτον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἤσθιεν ἐνώπιον ἡμῶν, κινῶν τοὺς πρῴην νομιζομένους καὶ μὴ φαινομένους ὀφθαλμοὺς αὐτοῦ, ἐμβλέπων πρὸς ἕνα ἕκαστον τῶν παρισταμένων· διηγοῦντο δὲ οἱ γονεῖς αὐτοῦ, ὅτι ἐξ ἧς ὥρας ἠΰξατο ὁ ἅγιος, ἀπέστη τοῦ θηλάζειν, καὶ ἐτρέφετο τῇ κοινῇ τροφῇ ἀνενδεῶς· χαίροντες οὖν ὑπέστρεψαν εἰς τὴν ἰδίαν πόλιν, διηγούμενοι τὸ θαῦμα εἰς δόξαν Θεοῦ.

## Θαῦμα Ε'.

Παιδίον τινὸς τῶν ἐν Ἀμάσειᾳ χειροτεχνῶν, ἐξαίφνης νόσῳ περιπεσόν, ἔφθασεν εἰς αὐτὰς τὰς πύλας τοῦ θανάτου· τοῦτο λαβὼν ὁ πατὴρ ἐν ἀγκάλαις, ἔρχεται εἰς τὸ Μοναστήριον, καὶ προσαγαγὼν τῷ Ἁγίῳ, παρεκάλει τυχεῖν τῆς ὑγείας· ὁ δὲ ἅγιος περὶ ἄλλην διακονίαν ἠσχολεῖτο, ὥστε οὐκ εἶχε καιρὸν περὶ τούτου φροντίσαι· ἐπεὶ δὲ πολλὴ παρετάθη ὥρα, ἠβούλετο ὁ πατὴρ τοῦ παιδὸς ἀναχωρῆσαι, λέγων ὅτι θνήσκει τὸ παιδίον μου· τί καὶ ἐνοχλοῦμεν τὸν ὅσιον; ἡμεῖς δὲ ἐπέσχομεν τὸν ἄνδρα, λέγοντες· μεῖνον μικρόν· λογισάμενοι ὅτι καὶ ἐκ νεκρῶν ἐγεῖραι δύναται ὁ Θεός· ἀνηγγέλθη δὲ τῷ ἁγίῳ περὶ τοῦ κινδύνου τοῦ παιδός· ὁ δὲ μηδὲν μελήσας, εἰσῆλθεν εἰς τὸν εὐκτήριον οἶκον, καὶ προσευξάμενος ἐπέθηκε τὰς χεῖρας αὐτοῦ ἐπὶ τὸ παιδίον· χρίσας δὲ τῷ ἁγίῳ ἐλαίῳ, ἀφῆκεν ἀπελθεῖν εἰς τὸν οἶκον αὐτοῦ· τῇ δὲ ἑξῆς ἐλθὼν ὁ πατὴρ μετὰ τοῦ παιδίου ὑγιοῦς ὄντος, ηὐχαρίστει τῷ Θεῷ, τῷ ζωοποιοῦντι τοὺς νεκρούς.

## Θαῦμα Ϛ'.

Γυνή τις χαρική, ἔχουσα υἱὸν ἑπταετῆ, εἰσήρχετο μετ' αὐτοῦ εἰς τὴν πόλιν· ἐκ συναντήματος δὲ πονηροῦ δαίμονος, ἐξαίφνης ἐπλήγη τοὺς πόδας ὁ παῖς, καὶ στῆναι ὅλως οὐκ ἠδύνατο. Βαστάσασα δὲ τὸ παιδίον ἡ μήτηρ, ἤγαγε τῷ ὁσίῳ, ὀδυρομένη καὶ κλαίουσα ἐπὶ τῇ συμβάσῃ θλίψει τοῦ παιδός· ὁ δὲ ἐκτενῶς εὐξάμενος, ἤλειψε τῷ ἁγίῳ ἐλαίῳ τοὺς πόδας τοῦ παιδός· πληρωθείσης οὖν τῆς εὐχῆς, θέλουσα ἡ μήτηρ γνῶναι, εἰ ἄρα δύναται στῆναι τὸ μειράκιον εἰς τοὺς πόδας αὐτοῦ, ἔστησεν αὐτὸ βαστάζουσα. Σταθὲν οὖν, ἐν ἀρχῇ ὑπότρομον γενόμενον, ἔμελλε πίπτειν· κατὰ μικρὸν δὲ αὖθις βοηθούμενον, ἔστη παντελῶς ἄσεισον καὶ ἀκλόνητον· ἔζη οὖν ὁ παῖς περιπατῶν καὶ ἀπερχόμενος μετὰ τῆς μητρὸς αὐτοῦ εἰς τὰ ἴδια, ἀλλόμενος καὶ αἰνῶν τὸν Θεόν.

## Θαῦμα Ζ'.

Μοναστήριον γυναικεῖον παράκειται ἐν ταύτῃ τῇ πόλει Ἀμασείᾳ, τῆς Φλα-

βίας ὀνομαζόμενον· τινὲς οὖν τῶν γυναικῶν τῆς Μονῆς, κοράσιον ἤγαγον πενταετὲς πρὸς τὸν ὅσιον λέγουσαι· ὅτι τὴν θείαν κοινωνίαν οὐδόλως προσίεται· ἀλλ' ὅταν θέλῃ κοινωνῆσαι, φόβῳ καὶ τρόμῳ πολλῷ συνεχόμενον κράζει, καὶ ἀηδιάζον ἀποστρέφεται τὸ ἅγιον σῶμα. Κυριακῆς δὲ ἐπιστάσης ἡμέρας, καὶ τοῦ ἁγίου τῷ λαῷ διαδίδοντος τὰ μυστήρια, εἴπομεν προσενέγκαι τὸ κοράσιον, μεταλαβεῖν· ὡς δὲ ἤγγισε τοῖς ἁγίοις μυστηρίοις, καὶ διὰ πολλῆς βίας καὶ στενοχωρίας δεξάμενον ἐν τῷ στόματι τὴν ἁγίαν κοινωνίαν, ἐν ἀγρίᾳ φωνῇ ἔρριψεν ἐνώπιον ἡμῶν· ἡμεῖς δὲ φρίξαντες, ἀπελύσαμεν τὸ κοράσιον, παραγγείλαντες ἀγαγεῖν τῇ ἐπαύριον· ὡς οὖν ἦλθον ἐπὶ τὴν αὔριον, ἐποίησεν ὁ ἅγιος εὐχὴν ἐπὶ τῷ κορασίῳ, χρίσας τῷ ἁγίῳ ἐλαίῳ πάσας τὰς αἰσθήσεις αὐτοῦ· μετὰ δὲ τοῦτο, ἀπήγαγον αὐτὸ μεταλαβεῖν. ***Στενάξαν δὲ μεγάλως τὸ κοράσιον***, διὰ τῆς χάριτος τοῦ Θεοῦ, μετέσχε τῶν ἀχράντων μυστηρίων ἀφόβως καὶ ἀδειμάντως· μετὰ δὲ τὸ μεταλαβεῖν, στενάξαν μέγα τὸ ἰαθὲν κοράσιον, εἶπεν, ἰδοὺ ἀπάρτι τρώγω κωλώθην· (οὕτω γὰρ καλοῦσι τὰ παιδία τῆς χώρας ἐκείνης, τὸν μήπω ἁγιαζόμενον ἄρτον·) πάντες οὖν ἐδόξασαν τὸν Θεόν, τὸν ποιοῦντα θαυμάσια διὰ τῶν αὐτοῦ πιστῶν θεραπόντων· ὡς οὖν ἤγγισε τῇ ἁγίᾳ κοινωνίᾳ, πάλιν ἀφῆκε φωνὴν ἀγρίαν, καὶ προσεγγίσαν τῷ στόματι αὐτοῦ, πολλὴν ἤμεσεν ἀκαθαρσίαν, μᾶλλον δὲ τὸ ἀκάθαρτον πνεῦμα ἐξῆλθεν ἀπ' αὐτοῦ καὶ οὕτως ἰάθη τὸ κοράσιον.

## Θαῦμα Η'.

Νεώτερός τις, τὴν τοῦ μουσούρου τέχνην ἐπιστάμενος, εἰργάζετο ἐν τῷ οἴκῳ Χρυσαφίου ἐν αὐτῇ τῇ πόλει Ἀμασείᾳ, τούτου δὲ καταφέροντος τὸ παλαιὸν μουσεῖον ἀπὸ τοῦ τείχους, ἱστορίαν ἔχοντος τῆς Ἀφροδίτης, (ἠβούλετο γὰρ ὁ πορρηθεὶς Χρυσάφιος, ναὸν ποιῆσαι εὐκτήριον ἐπ' ὀνόματι τοῦ Ἀρχαγγέλου ἐν τῷ ἀνωγέῳ, τὸ δὲ κατώγεον, ναὸν μέγαν ἐπ' ὀνόματι τῆς κυρίας Θεοτόκου,) ὁ ἐκεῖσε παραμένων δαίμων, ἔπληξε τὴν δεξιὰν τοῦ μουσούρου χεῖρα, καὶ ἦν ἡ πληγὴ τῆς χειρὸς καιρία, ὡς οὖν εἶδεν ἑαυτὸν ὁ τεχνίτης ἐν τοιαύτῃ καταστάσει, ἔρχεται πρὸς τὸν ἅγιον, ὅπως τύχῃ ἰάσεως διὰ τῶν εὐχῶν αὐτοῦ, ὁ δὲ ἅγιος ποιήσας ἐπ' αὐτῷ εὐχήν, καὶ χρίσας τῷ ἁγίῳ ἐλαίῳ τὴν χεῖρα αὐτοῦ, ἀπεκατέστη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς πρότερον· ἐν τῷ οἴκῳ δὲ ἐκείνῳ ᾧ τὴν πληγὴν ἔλαβε ὁ ἰαθεὶς τεχνίτης, ἐν τῷ αὐτῷ ἔστησε τὴν εἰκόνα τοῦ Ἁγίου Εὐτυχίου, εἰς ὑπόμνησιν τοῦ θαύματος, καὶ εἰς σημεῖον εὐχαριστίας.

## Θαῦμα Θ'.

Λεπτουργός τις, ἤνεγκε παιδίον πρὸς τὸν ἅγιον, ὑπὸ ἀκαθάρτου πνεύματος ἐνοχλούμενον· ὡς οὖν παρίστατο τῷ ἁγίῳ ποιοῦντι τὴν εὐχήν, διὰ τὸ εἶναι μικρὸν τὸ παιδίον, λέγει τις τῶν παρισταμένων τῷ λεπτουργῷ· βάστασον τὸ παιδίον, ἵνα προσλάβηται τοῦ ἁγιάσματος· ὁ δὲ ἐβάστασε· καὶ πληρωθείσης τῆς εὐχῆς, ἀπελύθησαν ἀμφότεροι· τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ ἔρχεται ὁ λεπτουργός, κλαίων καὶ ὀδυρόμενος, μὴ φέρων τὰς ὀδύνας τῆς ἑαυτοῦ χειρός· ἐρωτηθεὶς δέ, διατί κλαίει; καὶ τίς ἡ αἰτία; ἐξ ὅτου ἔφη, τὸ παιδίον

ἐβάστασα, ἔφυγεν ὁ δαίμων ἐκ τοῦ παιδός, καὶ ἐκολλήθη ἐμοί· τούτου ἀκούσας ὁ ἅγιος, καὶ μικρὸν ὑπομειδιάσας, κατεγέλασε τοῦ δαίμονος, τοιαῦτα πεποιηκότος· ἐπευξάμενος δὲ τῷ ἀνθρώπῳ, ἀπέλυσεν αὐτόν, παραγγείλας σχολάζειν τῇ εὐχῇ· ὁ δὲ ἀμελήσας τῇ τοῦ ἁγίου παραγγελίᾳ, φοβηθεὶς τὸν ὄγκον καὶ τὴν πυράκτωσιν τῆς χειρός, παρέδωκεν ἑαυτὸν τοῖς ἰατροῖς, καὶ θερμοῖς ὕδασιν· ἀναλώσας δὲ πάντα τὸν βίον αὐτοῦ, καὶ μηδὲν ὠφεληθείς, ἦλθε πάλιν πρὸς τὸν ἄμισθον ἰατρὸν Εὐτύχιον· ὁ δέ, μηδόλως μελήσας, μηδὲ ἐπιπλήξας, παρεκάλεσε τὸν Θεὸν ὑπὲρ αὐτοῦ· καὶ οὕτως ἀπηλλάγη τῶν ὀδυνῶν καὶ τῆς ἐπηρείας τοῦ ἐχθροῦ, γενόμενος ὑγιής, καὶ δοξάζων τὸν Θεόν.

## Θαῦμα Ι'.

Νεώτερός τις περιέπεσε δαίμονι πονηροτάτῳ καὶ χαλεπῷ, ὁσάκις δὲ ὑπ' αὐτοῦ ἠνωχλεῖτο, κρατῆσαι τοῦτον οὐδεὶς ἴσχυεν, ἀλλὰ πάντας ἐδίωκε καὶ συνέτριβεν· ἄγουσιν οὖν αὐτὸν πρὸς τὸν ἅγιον, ὁ δὲ ἅγιος, τὸ φοβερὸν κατὰ τῶν δαιμόνων ὅπλον, τὸν τίμιον Σταυρόν, καὶ τὸ ἐκ τῆς κανδήλας αὐτοῦ ἔλαιον ἐντίθησι τῷ μετώπῳ τοῦ δαιμονιζομένου, ὁ δὲ ἀσθενὴς ἤρξατο κράζειν, ἀφρίζειν, τοὺς ὀδόντας τρίζειν καὶ μαίνεσθαι· ἱκανὰς δὲ ὥρας τοῦ δαίμονος οὕτω βασανίζοντος, μόλις ἐπαύσατο γενόμενος ὡσεὶ νεκρός, ὥστε νομίσαι ἡμᾶς, ἀπαλλαγῆναι τοῦ δαίμονος· ἐλθὼν δὲ τῇ ἐπαύριον, χείρονα τῶν πρώτων πεποίηκεν· ὡς οὖν ἐπὶ πολὺ ἔμενεν ὁ δαίμων θλίβων τὸν ἄνθρωπον, ἐθαύμαζεν ὁ τοῦ Θεοῦ πιστὸς θεράπων Εὐτύχιος, δι' ἣν ἄρα αἰτίαν οὐκ ἀναχωρεῖ ἀπ' αὐτοῦ ὁ δαίμων· καὶ λέγει μοι, ἐρώτησον τὸν πάσχοντα, τίς ἐστι, καὶ πόθεν αὐτῷ συνέβη τοῦ δαίμονος· ἡ συνάντησις; ἐρωτήσας οὖν αὐτὸν καταλεπτῶς τὰ περὶ τῆς καταστάσεως, καὶ τῆς ἐκ μικρᾶς ἡλικίας αὐτοῦ διαγωγῆς, ἀπεκρίθη μοι λέγων· ἐγὼ ἐκ μικρᾶς ἡλικίας μου εἰσῆλθον εἰς τὴν Μονὴν τοῦ Ἁγίου Ἰωάννου τὴν ἐν Ἀκροπόλει· (οὕτω γὰρ καλεῖται ἡ ἐν τῇ Ἀμασείᾳ ἐκείνη Μονή) καὶ μονάσας ἐν αὐτῇ χρόνον πολύν, εἶτα ἀκηδιάσας τῇ ἀσκήσει, ἐξῆλθον τοῦ μοναστηρίου, περιφρονήσας τοῦ μοναχικοῦ σχήματος, ἀλλάξας σὺν τῷ σχήματι καὶ τὸν βίον· περιέπεσα γὰρ γυναικί, καὶ πολλαῖς ἄλλαις ἁμαρτίαις· καὶ νῦν εἰμι ὡς ὁρᾶτέ με, ὑπὸ τοῦ δαίμονος ἐμπαιζόμενος καὶ τυραννούμενος, ἀλλ εἴτι δύνασθε, βοηθήσατέ μοι τῷ ἀθλίῳ. Ταῦτα μαθὼν καὶ ἀκούσας ὁ ἅγιος, (ὃς καὶ πρὸ τούτου ἐγίνωσκεν, ἐποίησε δὲ τοῦτο, ἵνα ὁ ἀσθενῶν ἐξομολογήσηται τὴν ἁμαρτίαν αὐτοῦ) ἐφθέγξατο μετὰ στεναγμοῦ, ὡς ἐκ προσώπου τοῦ ἀσθενοῦς τὸ Δαυϊτικὸν λόγιον· «εἶπα ἐξαγορεύσω τὴν ἁμαρτίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου·» εὐξάμενος οὖν ἐπ' αὐτῷ ὁ ἅγιος, παρήγγειλεν αὐτῷ ἀπελθεῖν εἰς τὴν Μονήν, ἐν ᾗ ἦν πρότερον, ἐνδυθῆναι δ ἐνύβρισε καὶ ἠθέτησε σχῆμα· ποιήσας τοίνυν τὰ προσταχθέντα ὁ ἀσθενής, οὐκέτι ἠνώχλη ὑπὸ τοῦ πονηροῦ δαίμονος, δοξάζων τὸν Θεόν, καὶ εὐχαριστῶν τῷ ἁγίῳ.

## Θαῦμα ΙΑ'.

Ἄνθρωπός τις ἦλθε πρὸς τὸν ἅγιον, ἀπὸ Κομάνων τοῦ Πολυανδοῦ· οὗτος ἐπὶ ἐνιαυτὸν ὅλον οὐκ ἀνέβλεψεν· ἡ δὲ αἰτία τῆς ἀβλεψίας, ἣν αὕτη· Πρᾶγμα

μετά τινος ἐσχηκώς, καὶ δικαζόμενος, κατεκρίθη ὁμόσαι· ὃς, μηδὲν εἶναι λογισάμενος τὸ τῆς ἐπιορκίας ἁμάρτημα, τοῦτο πεποίηκε· θέλων δὲ ὁ Θεὸς σῶσαι αὐτόν, ἐπάγει αὐτῷ τὴν τῶν ὀφθαλμῶν ἀβλεψίαν· ὡς οὖν ἐταλαιπωρεῖτο μὴ βλέπων τὸ φῶς, χειραγωγούμενος ἦλθε πρὸς τὸν ὅσιον, ἐξομολογούμενος τὸ τῆς ἐπιορκίας πλημμέλημα, δεικνύων συνάμα καὶ τὴν τῶν ὀφθαλμῶν ἀσθένειαν· ὁ δὲ ἅγιος σπλαγχνισθεὶς ἐπ' αὐτῷ, παρεκάλεσε τὸν Θεὸν συγχωρῆσαι αὐτῷ τὸ τῆς ἐπιορκίας ἁμάρτημα· καὶ χρίσας τοὺς ὀφθαλμοὺς αὐτοῦ τῷ ἁγίῳ ἐλαίῳ ἐπὶ τρεῖς ἡμέρας, ἀπέλυσεν αὐτὸν ὑγιῆ.

## Θαῦμα ΙΒ'.

Γυνή τις, παιδίον ἔχουσα ὑπομάζιον, ἐλθοῦσα πρὸς τὸν ἅγιον, ἐθρήνει τὴν τοῦ γάλακτος στέρησιν· ὁ δὲ ἅγιος συμπαθήσας αὐτῇ, καὶ ποιήσας τὴν συνήθη εὐχήν, ἐξέβλυσαν οἱ μαστοὶ αὐτῆς ῥέοντες γάλα· ἀπολυθεῖσα δὲ ὑγιής, ἐκήρυττε καὶ ἐξωμολογεῖτο παρρησίᾳ λέγουσα· ξηρανθέντος τοῦ γάλακτός μου, προσῆλθον τῷ ἁγίῳ ἀνδρὶ Εὐτυχίῳ· ὁ δὲ ποιήσας εὐχήν, ἐξέβλυσαν οἱ μαστοί μου γάλα ἄφθονον, διὸ καὶ ἀντιδίδωμι τοῖς ἄλλοις νηπίοις, ἐξ ὧν ἐρανιζόμην ἵνα θρέψω τὸ τέκνον μου.

## Θαῦμα ΙΓ'.

Πάντες ἴσμεν τὴν γενομένην ἐπιδρομὴν τῶν ἀθέων Περσῶν εἰς τὴν ἡμετέραν πόλιν, ὅτε Χοσρόης ἦλθεν ἐπὶ Σεβάστειαν καὶ Μελιτινήν· πολλῆς τοίνυν ἀνάγκης καὶ θλίψεως γενομένης, πάντες σχεδὸν οἱ πλησιόχωροι, καὶ τῶν ἐγγύθεν πόλεων, ὡς εἰς ὀχυρώτατην κατέφυγον τὴν Ἀμάσειαν· οὐ τοσοῦτον τῇ πόλει θαρροῦντες, ὅσον μᾶλλον ταῖς τοῦ ἁγίου εὐχαῖς, οἵτινες ἐπὶ πολὺν χρόνον μένοντες ἐν αὐτῇ, οὐ τὴν τυχοῦσαν τῶν σιτίων ἐποίουν στένωσιν· οἱ πάντες τοίνυν ὡς εἰς εὔδιον λιμένα κατέφυγον εἰς τὸ εὐαγὲς τοῦ ἁγίου Μοναστήριον, τρέφοντες μετὰ τῶν σωμάτων, καὶ πλέον τὰς ἑαυτῶν ψυχάς. Πολλῆς οὖν δαπάνης καθ' ἑκάστην ἡμέραν γινομένης, καὶ τῆς χώρας λιμὸν ἄφατον ἐχούσης, ἔκ τε τῶν ἡμετέρων στρατοπέδων, ἔκ τε τῶν τοῦ Θεοῦ καὶ τῆς ἡμετέρας πολιτείας ἐχθρῶν, οἱ πάντες ἦμεν ἐν ἀνάγκῃ καὶ κατηφείᾳ πολλῇ, διὰ τὴν ἐπιχορηγουμένην τῷ πλήθει τῶν ἄρτων τροφήν· τοσοῦτον γάρ ἐξεκενώθη τὸ ἄλευρον ἐκ τῶν ἀγγείων τῆς Μονῆς, ὡς μηδὲ μιᾶς ἑβδομάδος ὑπολειφθῆναι σχεδὸν ἐν αὐταῖς ἄλευρον· ὅτε οὖν εἶδον οἱ τὴν διακονίαν ἐκπληροῦντες τοῦ κελλαρίου μοναχοὶ τὴν ἐλάττωσιν τοῦ ἀλεύρου, καὶ τὴν ἀπαραίτητον τῶν δεομένων δαπάνην, προσῆλθον τῷ ἁγίῳ λέγοντες, γραφικόν τι λόγιον· «διαβὰς εἰς Μακεδονίαν, βοήθησον ἡμῖν»· ὅτε ἤδη τὸ ἄλευρον ἐκ τῶν ἀγγείων ἐξέλιπε, καὶ πᾶσα ἐλπὶς περιαιρεῖται τοῦ σώζεσθαι ἡμᾶς· ὁ δὲ μηδὲν ἐνδοιάσας, ἢ ὑπερθέμενος θαρρῶν τοῖς οἰκτιρμοῖς τοῦ Θεοῦ, παρεγένετο εἰς τὸ κελλαρεῖον, ἐν ᾧ αἱ ἀποθῆκαι βραχὺ ἔχουσαι ἄλευρον ἵσταντο· καὶ ποιήσας εὐχήν, παρήγγειλε τοῖς διακόνοις λέγων· παρέχετε τοῖς χρείαν ἔχουσιν, ὅτι χορηγήσει Κύριος ὁ Θεὸς ἡμῶν ὑπὲρ τὸ διπλάσιον· πιστεύω γὰρ ὡς οὐκ ἐξέλιπεν ἐκ τῆς ὑδρίας ποτὲ τὸ ἄλευρον, οὐδὲ νῦν ἐκλείψει· φάγονται δὲ πάντες καὶ χορτασθήσονται, καὶ αἰνέσουσι Κύριον τὸν Θεὸν ἡμῶν· καὶ οὕτως ἀνενδεῆ τὴν χορηγίαν τῶν ἄρτων παρέχοντες ἐπὶ πο-

λὺν χρόνον, πολὺν πεινῶντα λαὸν ἐχόρταζον· ἐκ τούτου δέ, πλέον ἐγνώσθη τὸ θαῦμα, διὰ τοῦ μὴ δέξασθαι προσθήκην ἀλεύρου, πρὸς τὴν ἥδη γεγονυῖαν τοῦ ἐνιαυτοῦ εἰσκομιδήν· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ τοσαύτης ὑπερδαπάνης γεγενημένης, καὶ μετὰ τὸ εἰσκομισθῆναι τὸ νέον ἄλευρον, ἐφ' ἱκανὸν χρόνον τὸ παλαιὸν ἐπήρκεσε· μᾶλλον δὲ διὰ παντὸς αὐτὸ ἐπήρκει, κατὰ τὸ γεγραμμένον· «φάγεσθε παλαιὰ παλαιῶν, καὶ παλαιὰ ἐκ προσώπου νέων ἐξοίσετε·» καὶ περὶ μὲν τῶν ὑπὸ τοῦ ἁγίου τούτου ἀνδρὸς γεγονότων θαυμάτων, πολλῶν ὄντων καὶ μεγάλων, ἀρκούντων ὀλίγων ἐξ αὐτῶν ἐμνημονεύσαμεν, τὰ λοιπὰ τοῖς βουλομένοις περὶ αὐτοῦ ζητεῖν καὶ γράφειν ὑψηλοτέρως παραχωρήσαντες· ἄξιον δὲ τὸ τῆς ἐπανόδου καὶ ἀποκαταστάσεως εἰς τὸν οἰκεῖον θρόνον τοῦ πατριαρχείου διηγήσασθαι.

Μείνας οὖν ἐν τῇ ὑπερορίᾳ δωδεκαετῆ χρόνον ἐν τῷ ὑπ' αὐτοῦ συστάντι Μοναστηρίῳ, μετέστη τοῦ βίου ὁ ἀντ' αὐτοῦ ὑπεισελθὼν εἰς τὸν θρόνον τοῦ πολυάθλου καὶ ἁγίου Εὐτυχίου, οὕτω τοῦ Θεοῦ, οἷς αὐτὸς οἶδε κρίμασι συγχωρήσαντος καὶ οἰκονομήσαντος. Τοῦ φιλοχρίστου τοίνυν λαοῦ τὸν ἑαυτῶν ποιμένα τε καὶ διδάσκαλον ζητοῦντος, καὶ ἐκβοήσεις καθ' ἑκάστην ποιουμένου πρὸς τοὺς βασιλεῖς Ἰουστῖνον καὶ Τιβέριον καὶ αὐτῶν δεξαμένων τὸν ἔνθεον ζῆλον τοῦ λαοῦ, καὶ μάλιστα διὰ τὸ προειπεῖν αὐτοῖς τὸν ἅγιον, ὡς μέλλουσι βασιλεῦσαι, σὺν πολλῷ τῷ τάχει καὶ μεγίστῃ χαρᾷ, Σκρίβωνας ἀποστέλλουσι πρὸς τὸν ἅγιον, ἵνα κἂν μὴ βουληθῇ ὑπακοῦσαι, καὶ μὴ βουλόμενον ἀγάγωσιν εἰς τὴν βασιλίδα τῶν πόλεων· φθάσαντες οὖν οἱ ἀπεσταλμένοι, ἐπέδωκαν τῷ ἁγίῳ τὸ βασιλικὸν γράμμα· ὁ δὲ ἅγιος λαβὼν εἰς χεῖρας καὶ ἀναγνούς, ἀναβλέψας εἰς οὐρανὸν καὶ σύνδακρυς γενόμενος, εὐχαριστήσας τῷ Θεῷ καὶ εὐλογήσας τὴν Μονὴν, τήν τε πόλιν καὶ τὸν λαὸν, καὶ πάντας τῷ Θεῷ παραθέμενος, ἀπήρξατο τῆς ὁδοῦ. Ἀλλὰ τίς ἀξίως διηγήσεται τὰ τοῦ Θεοῦ θαυμάσια; τῶν μὲν, τὸν σωματικὸν χωρισμὸν ὀδυρομένων, τῶν δὲ, τὴν ἐπάνοδον ἑορταζόντων· ποία δὲ γλῶσσα δυνήσεται πρεπόντως παραστῆναι τας συνεχεῖς καὶ διαφόρους ὑπαντήσεις. τὰς ξένας ἐκβοήσεις, καὶ γραφικὰς εὐφημίας; πάντες γὰρ ἔκραζον· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ἀλλὰ δὴ καὶ ἀσθενεῖς ἐτίθουν παρὰ τὴν ὁδὸν, ἵνα ἡ σκιὰ τοῦ ἁγίου ἐπισκιάσῃ τινὶ αὐτῶν. Ξένον δὲ καὶ παράδοξον θαῦμα γέγονεν, ἐξερχομένου τοῦ ἁγίου ἀπὸ Εὐχαΐτων· γυνή τις μετὰ τοῦ ἀσθενοῦς αὐτῆς παιδός, ὠθουμένη ὑπὸ τοῦ ὄχλου, ἔπεσεν ὑποκάτω τῶν ἡμιόνων, καὶ πάντων ἀπογνόντων, ὡς ἤδη τεθνηκείας μετὰ τοῦ παιδὸς αὐτῆς, ἔμεινεν ἀβλαβής· ἀπηλλάγη δὲ καὶ τὸ παιδίον ἐκ τῆς συνεχούσης αὐτὸ νόσου· ὅτε δὲ ἐφθάσαμεν εἰς Νικομήδειαν, οὐ μόνον ὁ πιστὸς λαὸς ἐποιεῖτο τὰς ἐκβοήσεις, ἀλλὰ καὶ ὁ τῶν ἀπίστων ἑβραίων δῆμος, μικροῦ δεῖν τοὺς παλαιοὺς ἐπὶ τοῦ Κυρίου μιμούμενοι.

Μετὰ τοιαύτης τοίνυν τιμῆς, ἐπάνεισιν εἰς την βασιλίδα τῶν πόλεων ἐκ τῆς καλῆς ἐκδημίας ὁ ἀγωνιστής, ὥστε πολλῶν πολλάκις, καὶ πολλοὺς ἤδη γεγενημένων, ἐκ παντὸς χρόνου τιμῶν τε καὶ ὑπαντήσεων, οὐκ ἄρχουσι μόνον δημοσίοις, ἀλλὰ καὶ ἱερεῦσι, καὶ τῶν οἰκείων τοῖς ἐπιφανεστάτοις, μηδεμίαν ταύτης μνημονεύεσθαι πολυανθρωποτέραν καὶ λαμπροτέραν· μᾶλλον δὲ καὶ ὑπὲρ τὸ πλέον τὸν ἑαυτῶν πατέρα, ποιμένα τε καὶ διδάσκαλον. ὁ πι-

στὸς λαὸς εἰσήγαγεν εἰς τὴν Βασιλίδα τῶν πόλεων. Ἀλλὰ τὶς ἂν κατὰ λόγον διηγήσεται τὰ τότε γεγενημένα θαυμάσια κατὰ γῆν τε καὶ θάλασσαν; πῶς ἡ θάλασσα χερσωθεῖσα, καὶ οἱονεὶ τὴν γείτονα γῆν μιμησαμένη, τὰ νῶτα ταῖς ὁλκάσι καὶ τοῖς πορθμείοις ἀκωλύτως ὑποθεῖσα, τοῖς ἀνθρώποις βαδίζειν παρείχετο· οὐδὲ γὰρ ἦν ὁ διακρίνων τὴν ὑγρὰν ἀπὸ τῆς ξηρᾶς ἐκ τοῦ πλήθους τῶν ἀνθρώπων· ἀλλ' ἦν γῆ τε πᾶσα χεῖλος ἕν, φωνὴ μία, θεία τε καὶ οὐρανία, πάντων ὁμοῦ δοξαζόντων τὸν ἑαυτῶν Δεσπότην καὶ Δημιουργὸν Θεόν.

Ταῦτα τοῖς μὲν εἰδόσιν ὑπομνήματα, τοῖς δὲ ἀγνοοῦσι, διδασκαλία γίνεται. Τί οὖν; τὸ ἐφεξῆς ἀνεξέταστον καταλείψωμεν; οὔμενουν· τί δέ ἐστιν; ὅπως ἔκ τινος οἰκονομίας, ἐν τοῖς Ὁρμίσδα ἡ ἀρχὴ τῆς ἐξορίας τοῦ θείου ἀνδρός, ὡς προέφημεν, Ἰανουαρίου εἰκοστῇ δευτέρα ἐγένετο· ἐκεῖθεν πάλιν ἡ ἐπὶ τοῦ Πατριαρχικοῦ θρόνου ἀποκατάστασις, Ὀκτωβρίου τρίτῃ γεγένηται, Διανυκτερεύσας τοίνυν ἐν τῷ αὐτῷ ναῷ καὶ παραγενόμενος μετὰ παντὸς τοῦ κλήρου εἰς τὸν ἐν Βλαχέρναις πάνσεπτον ναὸν τῆς Θεοτόκου, ὅπου καὶ ὑπεδέξαντο αὐτὸν χαίροντες, οἱ εὐσεβέστατοι Βασιλεῖς Ἰουστῖνος καὶ Τιβέριος, ἀπῆλθεν ἐκεῖθεν σὺν παντὶ τῷ κλήρῳ καὶ τῷ λαῷ εἰς τὴν ἁγίαν τοῦ Θεοῦ μεγάλην ἐκκλησίαν, ἐν ᾗ τὴν ἀναίμακτον ἐκτελέσας θυσίαν, (ἦν γὰρ ἡμέρα Κυριακή)· μετέδωκε ταύτην τῷ πιστῷ λαῷ, ἀρξάμενος ἀπὸ τῆς τρίτης ὥρας, ἕως τῆς ἐννάτης· πάντες γὰρ ἤθελον ἐκ τῶν ἁγίων αὐτοῦ χειρῶν μεταλαβεῖν,

Ἀλλὰ καὶ τοῦτο ὑμᾶς ὑπομνῆσαι βούλομαι, ὅτι ἡ ἐπάνοδος αὐτοῦ πολλῆς καὶ μεγάλης ὠφελείας, ἐγένετο πρόξενος παντὶ τῷ λαῷ, καὶ θαυμάτων ἀρχὴ νέα· πρὸ γὰρ τῆς αὐτοῦ παρουσίας, ὡς οὐδεὶς ἀγνοεῖ τὴν τότε ἐπικρατήσασαν ἐπιδημιακὴν ἀνθρωποθνησίαν, ἀνάρπαστον μέλλειν γίνεσθαι πᾶσαν ὁμοῦ ἡλικίαν, εἰμὴ φθάσας ὁ τοῦ Θεοῦ πιστὸς θεράπων Εὐτύχιος, ὡς πάλαι ποτὲ ὁ Φινεές, ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις· τίς δέ, καὶ ποῖος ὁ ἐξιλασμός; ἡ γεγονυῖα λιτὴ παρ' αὐτοῦ τε καὶ τοῦ πιστοῦ λαοῦ, ἀπὸ τῆς μεγάλης ἐκκλησίας ἕως τοῦ οἴκου τῆς Δεσποίνης ἡμῶν Θεοτόκου τοῦ ἐν Βλαχέρναις· ἐξ αὐτῆς οὖν τῆς ἡμέρας μέχρι τῆς τελειώσεως αὐτοῦ, ἄπρακτον κατέστησε τὸν ὀλοθρεύοντα ὁ ὑπ' αὐτοῦ δυσωπούμενος Χριστὸς ὁ Θεός· τοῦτο μὲν δὴ τὸ ἓν καὶ πρῶτον ἔργον τῆς αὐτοῦ ἐπανόδου, τὸ, κοινὴν σωτηρίαν πᾶσι πρεσβεύσασθαι.

## Θαῦμα ΙΑ'.

Νεώτερός τις τῶν εὐγενῶν, παραμένων, Καλοποδίῳ τῷ πριμμικηρίῳ Αὐγούστης, ἢ μᾶλλον ὑπ' αὐτοῦ ἀνατραφείς, ἔκ τινος ἐναντίας προφάσεως, τὸν ἕνα ὀφθαλμὸν ἀδικηθεὶς ἐπὶ πολὺν χρόνον, ἐσχάτως ἐκινδύνευεν ὥστε καὶ στέρεσθαι τούτου προσδοκᾶν αὐτόν, μηδενὸς ἰατροῦ δυνηθέντος ὠφελῆσαί τι· τοὐναντίον δὲ μᾶλλον ἠδίκουν οἱ ἰατρεύοντες· ὡς οὖν ἐν τούτοις ἦν τὰ τοῦ πάθους, καταφεύγει πρὸς τὸ ἕτοιμον καὶ ἀμισθον ἰατρόν, τὸν ἐκ μόνης εὐχῆς δυνάμενον θεραπεύειν· ὁ δὲ ἅγιος ποιήσας εὐχὴν ἐπ' αὐτῷ, καὶ χρίσας τῷ ἁγίῳ ἐλαίῳ τὸν πάσχοντα ὀφθαλμόν, ἀπεκατέστη ὑγιὴς ὡς ὁ ἄλλος τῇ τοῦ Θεοῦ χάριτι.

Κυρίλλῳ τῷ Κιναρίῳ συνῴκει γυνὴ ἐκ πολλῶν χρόνων· αὕτη περιπεσοῦσα τῷ τοῦ ὕδρωπος πάθει, ἐσχάτως ἐκινδύνευεν· ἥ καὶ πολλὰ δαπανήσασα τοῖς ἰατροῖς, καὶ μηδὲν ὠφεληθεῖσα, τῆς ἑαυτῆς σωτηρίας ἀπέγνω· ταύτην παραλαβὼν ὁ ἀνήρ, ἀπὸ τόπου εἰς τόπον τῶν προαστείων περιῆγε, νομίζων ἐκ τῆς εὐαερίας ὠφεληθήσεσθαι αὐτήν· συνέβη δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον διάγειν τὸν ἅγιον ἐν τῷ Πυλεατικῷ· γνοὺς δὲ τοῦτο ὁ φιλόχριστος ἀνήρ, μηδὲν ὑπερθέμενος, ἄγει τῷ ἁγίῳ τὴν γυναῖκα, παρακαλῶν εὔξασθαι ἐπ' αὐτῇ ὅπως ἰαθείη· εὐξάμενος δὲ ἐπ' αὐτῇ ὁ ἅγιος, καὶ χρίσας αὐτὴν τῷ ἁγίῳ ἐλαίῳ, ἀπέλυσε· μετὰ δὲ ὀλίγας ἡμέρας, ἀπήρθη ὁ ὄγκος τοῦ σώματος ἀπ' αὐτῆς, καὶ ἐγένετο ὑγιής.

Ὡς οὖν τὸν δρόμον τελέσας, καὶ τὴν πίστιν τηρήσας, ὁ τοῦ Θεοῦ θεράπων Εὐτύχιος, ἀνέμενε λοιπὸν τὸν ἀποκείμενον αὐτῷ τῆς δικαιοσύνης στέφανον, ζήσας μετὰ τὴν ἐπάνοδον ἐν τῷ θρόνῳ τοῦ Πατριαρχείου τέσσαρα ἔτη καὶ μῆνας ἕξ· ὡς γενέσθαι τὰ πάντα τῆς ζωῆς αὐτοῦ ἑβδομήκοντα.

Πολλὰ μὲν οὖν καὶ ἄλλα ποιήσας κατορθώματα, καὶ τοὺς ὑπ' αὐτοῦ κατὰ πάσης αἱρέσεως συγγραφέντας λόγους δημοσιεύσας, πλατυτέρως τε καὶ σαφεστέρως ἐξηγησάμενος, πᾶσι τοῖς πιστοῖς ὅρον καὶ νόμον ὀρθοδοξίας παρέδωκεν· ἐπόθει δὲ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι· ἀλλὰ διὰ τὴν τῶν πολλῶν σωτηρίαν, ἀναγκαιότερον ἔκρινε τὸ τῇ σαρκὶ ἐπιμένειν· διὸ καὶ καθ' ἑκάστην ἡμέραν τὰ ὑψηλότερα φιλοσοφῶν, ἐδίδασκε τὸν λαὸν καὶ καθωδήγει φυλάττων ἀσφαλῶς τὰς θείας ἐντολάς, καὶ ἐμμένειν στερεοὺς ἐν τῇ πίστει. Χρόνου δὲ βραχέος παρελθόντος, προεῖδεν ὁ ἅγιος τὰ μέλλοντα συμβήσεσθαι δεινὰ τῇ πόλει ταύτῃ διὰ τὰς τοῦ λαοῦ ἁμαρτίας· διὸ καὶ ἡμέρας καὶ νυκτὸς παρεκάλει τὸν Θεὸν λέγων· εἰ μὲν ἀφεὶς ἄφες αὐτοῖς τὴν προσδοκωμένην ἀπειλήν τε καὶ ὀργήν, εἰ δὲ μὴ μεταστησόν με τοῦ βίου, ἵνα μὴ ἴδω τὴν κάκωσιν τῆς πόλεως καὶ τοῦ λαοῦ· ὅθεν καὶ ἐπέτυχε τῆς αἰτήσεως· θέλημα γὰρ τῶν φοβουμένων αὐτὸν ποιεῖ Κύριος.


Ἐλθοῦσα γὰρ τῆς Ἁγίας Ἀναστάσεως ἡ λαμπροφόρος ἡμέρα, καὶ ποιήσας τὰ ἅγια βαπτίσματα καὶ τὸ Χριστὸς ἀνέστη, ἀσπασάμενος πᾶν τὸ ἱερατεῖον, τόν τε Βασιλέα καὶ τὴν σύγκλητον, καὶ πάντα τὸν λαὸν Κυρίου, ἐτέλεσε τὴν θείαν μυσταγωγίαν· μετὰ δὲ τὴν ἀπόλυσιν ἀνελθὼν εἰς τὸ Πατριαρχεῖον, μετέλαβε μετρίας τροφῆς, καὶ καθευδήσας μικρόν, ἔφθασεν ὁ καιρὸς τοῦ λυχνικοῦ, καὶ θέλοντος παραγενέσθαι εἰς τὸν ἑσπερινὸν ὕμνον, ἤρξατό τις συστολὴ καθ' ὅλου τοῦ σώματος γίνεσθαι· τινὲς δὲ ἐξ ἡμῶν, οὕτως αὐτὸν ἰδόντες διατεθέντα, παρεκάλουν αὐτὸν μὴ καταβῆναι, ἀλλ' οὐκ ἴσχυσαν πεῖσαι· πληρώσας οὖν τὰς ἑσπερινὰς εὐχάς, καὶ συνταξάμενος παντὶ τῷ λαῷ, ἀνῆλθεν εἰς τὸ Πατριαρχεῖον, ἀνακλιθεὶς ἐν τῇ κλίνῃ· περὶ δὲ τὸ μεσονύκτιον προσέβαλεν αὐτῷ σφοδρῶς ἡ νόσος· ἔμεινεν οὖν τὰς ἑπτὰ ἡμέρας προσευχόμενος, καὶ ἀπαύστως κατασφραγιζόμενος. Ἐπειδὴ δὲ τὰ τῆς νόσου ἐπετείνετο, ἦ μᾶλλον εἰπεῖν τὰ τῆς μεταθέσεως αὐτοῦ, μαθὼν ὁ Βασιλεὺς Τιβέριος, ἐλυπήθη μεγάλως, διὸ καὶ πάσας τὰς πολιτικὰς φροντίδας ἀφέμενος, ἀπῆλθε πρὸς τὸν ἅγιον· καὶ πέμψας προσεκαλεῖτο τοὺς πρώτους τῶν ἰατρῶν, εἴπως δύνανται θεραπεῦσαι τὸν ἅγιον· οἱ δὲ ἰατροὶ προσελθόντες μᾶλ-

λον ὠφελοῦντο, ἢ ὠφέλουν· ἔλεγε γὰρ αὐτοῖς ὁ ἅγιος, ἔχω ἰατρόν, ὃς ἐὰν θέλῃ θεραπεύει με, πρόσταγμα ἔθετο καὶ οὐ παρελεύσεται, γενηθήτω τὸ θέλημα αὐτοῦ· ὁ δὲ Βασιλεὺς ταῦτα ἀκούσας, ἠρώτα τὸν ἅγιον, μαθεῖν θέλων, τίνα θέλει τὸν μετ' αὐτὸν γενέσθαι τοῦ λαοῦ προστάτην καὶ ποιμένα· ὁ δὲ ἅγιος ἀπεσιώπησεν, οὐχ ὡς ἀγνοῶν, ἀλλὰ διά τινας αἰτίας, ἃς οἶδεν αὐτός· πολλὰ δὲ μετὰ τοῦ Βασιλέως λαλήσας, λέγει αὐτῷ τελευταῖον, καὶ σὺ δὲ αὐτὸς, ὦ Βασιλεῦ, μετὰ τέσσαρας μῆνας, μεθίστασαι τοῦ βίου τούτου, ὡς καὶ ἐγένετο· εὐλογήσας οὖν αὐτὸν ἀπέλυσε. Πᾶσαν οὖν τὴν διακαινήσιμον ἑβδομάδα διαμείνας ἐν τῇ ἀσθενείᾳ, πάντας ηὐλόγει καὶ ἐνουθέτει, ἐρρωμένος τὸν νοῦν, μέχρι τῆς δευτεροπρώτης Κυριακῆς· περὶ δὲ τὴν δεκάτην ὥραν τῆς ἡμέρας, εἰς χεῖρας Θεοῦ τὸ πνεῦμα παρέθετο.

Ἐπεὶ δὲ πάντα τὰ ἐν τῇ κηδείᾳ νενομισμένα καὶ πρέποντα πεπλήρωτο, προεκομίζετο μὲν ὁ ἅγιος χερσὶν ὁσίων ὑψούμενος· σπουδὴ δὲ ἦν ἑκάστῳ προσψαῦσαι τοῦ ἱεροφόρου σκίμποδος καὶ ἀσπάσασθαι· μὴ δυνατὸν δὲ τούτου πάντας ἐπιτυχεῖν, διὰ τὸ πολὺ πλῆθος τοῦ λαοῦ, κἂν πλησίον τῶν ἀγόντων ἐλθεῖν, καὶ τῆς θέας μόνης ἀπολαῦσαι, ὥς τι κἀκείνης πεμπούσης ὄφελος· πλήρεις τοίνυν αἱ ἀγοραί, στοαί, διώροφα καὶ τριώροφα, καὶ τὰ ὑπὲρ τούτων· ἐπέκεινα τῶν ἐκείνων παραπεμπόντων, προηγουμένων, ἑπομένων, ἀλλήλοις ἐπεμβαινόντων· μυριάδες γένους παντός· πᾶσα τάξις ἱερατικῆς λειτουργίας, πλήθη μοναστῶν· ψαλμῳδίαι θρήνοις ὑπερνικώμεναι· μόλις δὲ τὸ σῶμα διαφυγὼν τοὺς ἁρπάζοντας, εἰσηνέχθη εἰς τὸν ναὸν τῶν ἁγίων Ἀποστόλων ἐν τῷ θυσιαστηρίῳ, μετὰ τῶν λειψάνων τῶν ἁγίων Ἀποστόλων Ἀνδρέου, Λουκᾶ, καὶ Τιμοθέου, ὡς ἰσαπόστολος, τοῖς Πατριάρχαις ὡς Πατριάρχης, τοῖς κήρυξιν ἡ μεγάλη φωνή· ὁ μάρτυς τοῖς μάρτυσιν, ἵνα συνικετεύῃ μετ' αὐτῶν ἐν οὐρανοῖς ὑπὲρ παντὸς τοῦ Κόσμου,

Σὺ δὲ ὦ τρισμακάριε, καὶ ἅγιε πάτερ, ἐποπτεύοις ἄνωθεν, καὶ τὸν πάντα βίον διεξάγοις πρὸς τὸ λυσιτελέστερον· εἰδὲ μετασταίημεν, δέξαις κἀκεῖσε ἡμᾶς κατὰ τὰς σὰς ἐπαγγελίας εἰς τοὺς Ἀβραμιαίους κόλπους, καὶ ταῖς τῶν Δικαίων σκηναῖς, ὡς ἂν καὶ ἐν αὐταῖς διδάξας ἡμᾶς καθαρώτερόν τε καὶ τελειότερον, τὰ περὶ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ συναϊδίου Τριάδος, ἧς νῦν μετρίως τὰς ἐμφάσεις ὑπὸ σοῦ δεδέγμεθα, καὶ τῶν ὡς σὺ μαθόντες καὶ σοφισθέντες, ἦν καὶ παρακαλῶν ἀπαύστως, μὴ παύσῃ ὑπέρ τε ἡμῶν τῶν σῶν ἱκετῶν, τοῦ τε ποιμνίου τοῦδε, καὶ τοῦ φιλοχρίστου λαοῦ, ὅπως ἐπιτύχωμεν τῶν αἰωνίων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ δόξα καὶ προσκύνησις, ἅμα τῷ ἁγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς τῶν σῶν ἁγίων πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς.



***Τῷ αὐτῷ μηνὶ ΚΑ', μνήμη τῶν ἁγίων ἱερομαρτύρων ΙΑΝΟΥΑΡΙΟΥ ἐπισκόπου, ΠΡΟΚΟΛΟΥ, ΣΩΣΣΟΥ καὶ ΦΑΥΣΤΟΥ τῶν διακόνων, ΔΙΣΙΔΕΡΙΟΥ ἀναγνώστου, ΑΚΟΥΤΙΟΥ (1) καὶ ΕΥΤΥΧΙΟΥ.***

(1) Ἐν δὲ τοῖς Μηναίοις γράφεται Φαύστου Ἀκουτίωνος.

### Εἰς τὸν Ἰανουάριον.

»Τὸν Ἰαναυάριον ἄνδρα γεννάδαν,
»Ἀπρίλιος μὴν εἶδεν ἐκτετμημένον.

### Εἰς τὸν Πρόκουλον Σῶσσον καὶ Φαῦστον.

»Σὺν τῷ Προκούλῳ, Σῶσσον ἀλλὰ καὶ Φαῦστον,
»Πρὸ κουλεοῦ κύψαντας ἔκτεινε ξίφος.

### Εἰς τὸν Δισιδέριον.

»Δισιδέριος τὴν δέριν δοὺς τῷ ξίφει,
»Τομὴν ὑπέστη, καὶ παρέστη Κυρίῳ.

### Εἰς τὸν Ἀκούτιον καὶ Εὐτύχιον.

»Φωνῆς ἀκουτίσθητι τῆς Ἀκουτίου,
»Λέγοντος, Εὐτύχιε, συντμήθητί μοι.
»Ἰανουαρίοιο κάρηνα τάμον εἰκάδι πρώτῃ.

Οὗτοι οἱ ἅγιοι ἦσαν κατὰ τοὺς χρόνους τοῦ βασιλέως Διοκλητιανοῦ καὶ Τιμοθέου ἄρχοντος τῆς ἐν Ἰταλίᾳ Καμπανίας ἐν ἔτει σγή. (298), οἱ ὁποῖοι εἰς πικρὰς καὶ διαφόρους τιμωρίας καταδικασθέντες, ἐτελείωσαν τὸν δρόμον τοῦ μαρτυρίου. Ὁ δὲ ἀρχιερεὺς Ἰανουάριος ἐβλήθη εἰς κάμινον, καὶ ἐπειδὴ ἐφυλάχθη ἀπὸ αὐτὴν ἀβλαβὴς χάριτι Χριστοῦ, διὰ τοῦτο ἔκοψαν τὰ νεῦρά του, καὶ οὕτως ἐτελείωσε τὸν δρόμον τῆς ἀθλήσεως. Ἀφ' οὗ δὲ παρῆλθον χρόνοι, γυνή τις ὀνόματι Μαξιμίνα, χήρα οὖσα καὶ μονογενῆ υἱὸν ἔχουσα, ὑστερήθη αὐτόν, ἐπειδὴ καὶ ὁ θάνατος τῆς τὸν ἥρπασεν· ὅθεν ἔκλαιε καὶ ἐθρήνει ἀπαρηγόρητα τὴν στέρησίν του· ἐλθοῦσα δὲ ὀλίγον εἰς τὸν ἑαυτήν της, βλέπει ἄνωθεν εἰς τὴν θύραν τοῦ ναοῦ πανίον, εἰς τὸ ὁποῖον ἦτο ἐζωγραφημένη ἡ εἰκὼν τοῦ ἁγίου Ἰανουαρίου. Ὅθεν ἐνθυμηθεῖσα ἐκεῖνο, τὸ ὁποῖον πάλαι ποτὲ ἔκαμεν ὁ προφήτης Ἐλισσαῖος, ἀναστήσας τὸν υἱὸν τῆς Σωμανίτιδος, αὐτὸ τοῦτο ἐποίησε καὶ αὐτὴ θεόθεν κινηθεῖσα διότι σχηματίσασα τὸν υἱόν της ἐπιτηδείως, ἐσχημάτισε παρομοίως καὶ τὴν εἰκόνα τοῦ ἁγίου Ἰανουαρίου, καὶ εἰς μὲν τοὺς ὀφθαλμοὺς τοῦ υἱοῦ της ἔβαλε τοὺς ὀφθαλμοὺς τῆς εἰκόνος, εἰς δὲ τὸ στόμα ἐκείνου ἔβαλε τὸ στόμα τῆς εἰκόνος, ὁμοίως καὶ εἰς τὰ ἄλλα μέλη τοῦ υἱοῦ συνήρμοσεν ἐπιτηδείως τὰ μέλη τῆς εἰκόνος. Ἔπειτα μὲ θρήνους καὶ δάκρυα παρεκάλει τὸν ἅγιον λέγουσα· δοῦλε τοῦ Θεοῦ, ἐλέησόν με, καὶ παρηγόρησον τὴν θλῖψιν μου, καὶ ἀνάστησον τὸν υἱόν μου, ὅτι αὐτὸν μόνον ἔχω μονάκριβον. Ὁ δὲ ἅγιος συμπονέσας τὴν συμφοράν της, παρέστησε ζωντανὸν τὸν υἱόν της. Τοῦτο δὲ τὸ παράδοξον βλέποντες ὅλοι οἱ συναχθέντες διὰ νὰ ἐνταφιάσωσι τὸν νέον, ἔμειναν ἐκστατικοί, δοξάζοντες καὶ εὐλογοῦντες τὸν Κύριον.

# ΑΝΑΠΛΗΡΩΣΙΣ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ
## ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΙΑΝΟΥΑΡΙΟΥ.

*Διὰ τοὺς βουλομένους ἑορτάζειν τὸν ἅγιον.*

*Ἑσπέρας, ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν προοιμιακὸν ψαλμόν, στι χολογοῦμεν τὸ ά. ἀντίφωνον, τό, Μακάριος ἀνήρ. Εἰς τό, Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. ή. καὶ ψάλλομεν τῆς ἑορτῆς προσόμοια δ'. καὶ τοῦ Ἁγίου δ'. δευτεροῦντες τὸ ά. Προσόμοια τοῦ Ἁγίου ἦχ. δ'. ὅρα εἰς τὸ μηναῖον(1).*

*Δόξα, ἦχος πλ. β'.*

Σήμερον συγκαλεῖται ἡμᾶς, ἡ πάνσεπτος μνήμη τοῦ σοφωτάτου διδασκάλου καὶ ἱερομάρτυρος Ἰανουαρίου. Εἰς γὰρ ἑστίασιν πνευματικὴν προτίθεται ἡμῖν ἡ πάντιμος Κάρα αὐτοῦ, σὺν τῷ αἵματι τῆς ἀθλήσεως. Δεῦτε οὖν ἅπαντες πιστοί, Βασιλεῖς τε, Ἱερεῖς, Ἀρχιερεῖς, καὶ ἡλικία πᾶσα, χορείαν στησάμενοι κοινήν, ἀσματικοῖς ἐγκωμίοις μελωδήσωμεν λέγοντες. Χαίροις ὁ τῆς ἀληθείας κήρυξ, καὶ τῆς Ἐκκλησίας στύλος ἀκράδαντος. Χαίροις ὁ στρατιώτης τοῦ Χριστοῦ γενναιότατος καὶ τῆς εὐσεβοῦς ὁμολογίας ὁμολογητὴς στερρότατος. Χαίροις ὁ ποιμὴν ὁ καλός, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, ὁ τοὺς τρεῖς παῖδας ζηλώσας, καὶ τὴν κάμινον δροσίσας, καὶ τοὺς συνάθλους σου μαρτυρικοῖς στέμμασι κατακοσμήσας. Μὴ διαλείπῃς δυσωποῦμέν σε, ἁγιώτατε Πάτερ, ἀεὶ τὴν πόλιν ταύτην φρουρῶν καὶ σκέπων, καὶ σώζων ἐκ παντοίας προσβολῆς, καὶ τῆς φλογὸς τοῦ Βεσουβίου, καὶ τῆς μελλούσης Οὐρανῶν Βασιλείας τύχοιμεν, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Καὶ νῦν, τῆς Ἑορτῆς. Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα. Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα κεφ. μγ'9. Τάδε λέγει Κύριος Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς ; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν ; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω· καὶ τίς ἀποστρέψει αὐτό; οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. Κεφ. γ'. 1.

*Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, (ὅρα σελ. 239).*

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. Κεφ. ε'. 16.

*Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι' (ὅρα σελ. 239).*

(1) Ἐκ τῆς Ἀκολουθίας ταύτης δημοσιεύομεν μόνον τὰ τροπάρια, δοξαστικὰ μετὰ τῶν καθισμάτων καὶ ἄλλων ὅσα παραλείπονται ἐκ τῶν μηναίων, καὶ ἅτινα ἐρανίσθησαν καὶ ἐξεπονήθησαν παρὰ τοῦ ἀρχιεπισκόπου Σινᾶ Ὄρους κυρίου Κυρίλλου. Σ. Ε.

*Εἰς τὴν Λιτὴν στιχ. Ἰδιόμελα· ἦχος ἀ.*

Τὸν ἀριστέα τοῦ Χριστοῦ, Ἰανουάριον τὸν ἀοίδιμον, συνελθόντες οἱ πιστοί, ἐγκωμίοις μαρτυρικοῖς, καὶ ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν. Οὗτος γὰρ τὸν πρὸς ἐχθροὺς ἀοράτους πόλεμον ὑπελθών, καὶ νομίμως ἀθλήσας, ἀξίως τὸ τῆς νίκης βραβεῖον ἐδέξατο, καὶ νῦν ἐν Οὐρανοῖς μετ' Ἀγγέλων χορεύων, τὴν ἀκατάλυτον χορείαν, αἰτεῖται τῇ Οἰκουμένῃ εἰρήνην, καὶ τὸ μέγα ἔλεος. Ἦχος β'.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἐν τῇ μνήμῃ σήμερον τῶν ἀθλοφόρων ὦ φιλέορτοι. Δεῦτε εὐφημήσωμεν αὐτούς, μυστικῶς ἐγκωμιάζοντες. Χαίροις Ἰαννουάριε ἔνδοξε, χαίροις Πρόκουλε, χαίροις Σῶσσε, χαίροις Δησιδέριε, χαίροις Ἀκουτίων, χαίροις Φαῦστε, χαίροις Εὐτόλιε· οἱ τὴν πλάνην τῶν εἰδώλων εἰς χάος βυθίσαντες, καὶ Χριστὸν τὸν Κύριον, ἐν μέσῳ τοῦ σταδίου τρανῶς κηρύξαντες. Διὸ παμμακάριστοι καὶ πολύαθλοι, μὴ παύσητε πρεσβεύειν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ἦχος δ'.

Ἡ ἐπταφεγγὴς τῶν ἀθλητῶν λαμπάς, ὡς ἐν δρυμῷ ξύλων ἀξίνη, Λαβιτικῶς ἐξέκοψε τὴν πλάνην τοῦ ἐχθροῦ, ὁμολογήσαντες Χριστὸν ἐναντίον Βασιλέων. Ὅθεν καὶ ἐν Οὐρανοῖς μετὰ Ἀγγέλων χορεύοντες, ἀπαύστως πρεσβεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ἦχος ὁ αὐτός.

Ἱερωσύνης τὴν ψῆφον θεόθεν δεξάμενος, καὶ τὸ θεῖον δέρας ἐξ ὕψους περιβαλλόμενος, τοὺς πρὶν ἀπιστίας υἱούς, τέκνα φωτός, καὶ κληρονόμους ἀνέδειξας. Θεοῦ σοφίας χάριτι, ἐγχυθείσης ἐν χείλεσί σου, παραδόξων πραγμάτων αὐτουργέ, Κυρίου Ἰαννουάριε. Διὸ καὶ νῦν ἐν τῇ μνήμῃ σου αἴτησαι Χριστὸν τὸν Θεὸν ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Δόξα, ἦχος πλ. β'

Ἡ Νεάπολις εὐφραίνεται, ὅτι ἐν τῇ σορῷ τοῦ σεβασμίου αὐτῆς πολιούχου Ἰαννουαρίου ἐπλουτίσθη, καὶ τὸ φιλόχριστον ποίμνιον συγκαλουμένη βοᾷ. Δεῦτε φιλομάρτυρες λαμπρύνθητε, ἐν τῇ μνήμῃ τῇ φαιδρᾷ. Δεῦτε οὖν φιλέορτοι φωτίσθητε. Δεῦτε ἴδετε φωστῆρα Οὐράνιον ἐν γῇ περιπολεύοντα. Δεῦτε καῖ ἀκούσατε οἵας χάριτος κατεπλουτίσθη. Ὡς γὰρ τὴν φλόγα τῆς καμίνου ἐδρόσισεν, οὕτω καὶ τὴν φλόγα τοῦ Βεσουβίου ὄρους κατέπαυσε, τῇ ἀοράτῳ αὐτοῦ ἐπιστασίᾳ. Καὶ τὴν πόλιν ταύτην ἐκ τοῦ κινδύνου ἐρρύσατο. Ἣν καὶ ἀεὶ διαφυλάττει ἐκ πάσης περιστάσεως, καὶ ταῖς ψυχαῖς ἡμῶν αἰτεῖται τὸ μέγα ἔλεος. Καὶ νῦν, τῆς Ἑορτῆς.

*Εἰς τὸν στίχον στιχ. προσόμοια τοῦ Ἁγίου, ἦχος β'.*

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Λόγῳ κυβερνώμενος ψυχῶν, θεῖος οἰκονόμος ἐδείχθης, μυσταγωγός τε πιστῶν, σπέρματα σωτήρια καταβαλλόμενος, καὶ θερίζων τὸν ἄσταχυν, πολύχουν θεόφρων, τοῦτον τῷ Δεσπότῃ σου φέρεις γηθόμενος. Ὦ νῦν παριστάμενος μάκαρ, μέμνησο τῆς ποίμνης σου ταύτης, τῆς ἀεὶ τιμώσης σε θεόπνευστε. Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει·

Ἔχων ἐξ ἀφθόνων δωρεῶν, σὺ τοῦ Παρακλήτου τὴν χάριν, τὴν τῶν ἰάσεων, πάθη τὰ τοῦ σώματος, καὶ τῶν ψυχῶν ἡμῶν, ἐπισκέψει σου ἴασαι, ὀδύνας κοιμίζων, πόνους παύων ἅπαντας, καὶ ἐκλυτρούμενος, πάντας συμφορῶν καὶ κινδύνων, καὶ ἐκ τῆς φλοχὸς τοῦ Βεσβίου, τὴν σὴν πόλιν ὦ Ἰαννουάριε περίσωζε. Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

*Χαίρων τῶν μελλόντων ἀγαθῶν, Πάτερ τῇ ἐλπίδι τοὺς πόνους, ῥᾳδίως ὑπήνεγκας, πρόθυμος τῶν ἔμπροσθεν ἐπεκτεινόμενος, τῶν ὀπίσω δὲ Πάνσοφε, ποιούμενος λήθην, ἕως τὸ μακάριον, τέλος κατέλαβες, πλήρης ἀρετῶν ἐργασίαις, καὶ μακαριότητος θείας, ὦ Ἰανουάριε τετύχηκας.*

*Δόξα, ἦχος γ΄.*

*Μωϋσέως, Δαβίδ τε Πάτερ Ἅγιε τὸ πρᾶον, Φινεὲς καὶ Ἠλιοῦ τὸν θεῖον ζῆλον, τοῦ Ἀβραὰμ δὲ τὴν πίστιν κτησάμενος, σὺν ἐκείνοις χορεύεις γηθόμενος, Ἰανουάριε, Μαρτύρων καὶ Ὁσίων τὸ καύχημα, καὶ Ἱεραρχῶν τὸ σεμνολόγημα. Διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον, ἀπὸ τῆς Φλογὸς τοῦ Βεσουβίου ἡμᾶς, καὶ τὴν Πόλιν ταύτην, διὰ παντὸς σωθῆναι.*

*Καὶ νῦν. Τῆς Ἑορτῆς. Ἀπολυτίκιον, ἦχος γ΄.*

*Μέγαν εὗρατο ἐν τοῖς κινδύνοις, σὲ ὑπέρμαχον ἡ Νεαπόλις, Ἰαννουάριε Πάτερ ἡμῶν ἔνδοξε, ἀπὸ λοιμοῦ, καὶ λιμοῦ, καὶ κακώσεως, καὶ τῆς Φλογὸς τοῦ Βεσβίου ταύτην διέσωσας. Διὸ κατὰ χρέος ἅπαντες, ἐν πίστει καὶ πόθῳ προσπίπτοντες, τιμῶμεν τὸ Αἷμα καὶ τὴν Κάραν σου.*

*Καὶ τῆς Ἑορτῆς. Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχ. Καθίσματα τοῦ Ἁγίου, ἦχος α΄. Τὸν Τάφον σου Σωτήρ.*

*Ὡς ἥλιος ἡμῖν, ἡ ἁγία σου μνήμη, ἀνέτειλε σοφέ, Ἰαννουάριε μάκαρ, καὶ τῶν συμμαρτύρων σου, τοὺς πιστοὺς καταυγάζουσα. Ἦν περ σήμερον, ἐπιτελοῦντες βοῶμεν, ἱκετεύσατε, ὑπὲρ ἡμῶν ἀθλοφόροι, τὸν μόνον φιλάνθρωπον.* *Δόξα τὸ αὐτό. Καὶ νῦν, τῆς Ἑορτῆς.*

*Εἰς τὴν β΄. στιχ. Καθίσματα, ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

*Τῶν αἰωνίων ἀγαθῶν κληρονόμος, ἀποδειχθεὶς δι' εὐσεβοῦς μαρτυρίας, μεγαλοκῆρυξ ἔνδοξε παρίστασαι, δόξῃ λαμπρυνόμενος τοῦ Δεσπότου τῶν ὅλων. Ὅθεν τὴν ἁγίαν σου ἑορτάζομεν μνήμην, τὴν τῶν πταισμάτων λύσιν ἀθλητά, ταῖς σαῖς πρεσβείαις, λαβεῖν Ἰαννουάριε.*

*Δόξα, τὸ αὐτό. Καὶ νῦν, τῆς Ἑορτῆς. Μετὰ τὸν Πολυέλεον, Κάθ. ἦχος δ΄.*

*Ταχὺ προκατάλαβε.*

*Φοινίξας ἐν αἵματι τὴν ἱεράν σου στολήν, θυσίαν εὐάρεστον Θεῷ προσῆξας σαυτόν, Ἰαννουάριε ἔνδοξε, ἔθραυσας τῶν δαιμόνων, τὸ ἀνίσχυρον θράσος, εὔφρανας τοὺς Ἀγγέλους, τῇ στερρᾷ σου ἐνστάσει. Διὸ καθικετεύων μὴ παύσῃ σωθῆναι ἡμᾶς. Δόξα τὸ αὐτό. Καὶ νῦν τῆς Ἑορτῆς.*

*Οἱ Ἀναβαθμοί, τὸ ά. Ἀντίφωνον τοῦ δ΄. ἦχου. Προκείμενον, ἦχος δ΄.*

*Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.*

*Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.*

*Τό, Πᾶσα πνοή. Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν. ΚΑ΄.*

*Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Προσέχετε ἀπὸ τῶν ἀνθρώπων. Ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, κτλ.*

*Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἱεράρχου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Εἶτα στίχ. Ἐλέησόν με ὁ Θεός. Καὶ ψάλλομεν τὸ ἰδιόμελον, ἦχος πλ. β΄.*

*Σήμερον ἡ Οἰκουμένη πᾶσα, ταῖς τοῦ Ἱεράρχου αὐγάζεται ἀκτῖσι, καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία τοῖς ἄνθεσιν ὡραϊζομένη, Ἰανουάριε βοᾷ σοι, θεράπων Χριστοῦ καὶ προστάτα θερμότατε, μὴ ἐλλίπῃς πρεσβεύειν ὑπὲρ ὑμῶν πρὸς Κύριον.*

*Εἶθ' οὕτως. Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Καὶ εὐθὺς οἱ Κανόνες τῆς Ἑορ. καὶ τοῦ Ἁγίου. (ὅραΜηναῖον) Κοντάκ. ἦχ. δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς θησαυρὸν πολυτελῆ ὁ Δεσπότης, καὶ κρήνην βρύουσαν κρουνοὺς ἰαμάτων, τῇ Νεαπόλει δέδωκέ σε Ἅγιε. Φύλαξ γὰρ καὶ πρόμαχος τοῦ λαοῦ ἀνεδείχθης, λύων καὶ τὴν κάκωσιν τῆς φλογὸς τοῦ Βεσβίου. Διὸ καὶ πάντες κράζομεν πιστῶς. Χαίροις προστάτα πατὴρ ἡμῶν Ἰαννουάριε.

Ὁ Οἶκος.

Ὡς ἀστὴρ φαεινὸς σήμερον συνεξέλαμψε, τῇ Ἀναστάσει Χριστοῦ, Ἰανουάριος ὁ ἔνδοξος, ἀστράπτων καὶ φωτίζων τὰ πέρατα ἅπαντα, τῶν ἀπίστων μόνον ἠμαύρωσε τὴν πᾶσαν δυσέβειαν, σοφίας λόγοις τούτοις διελέγξας, τὴν ἀλήθειαν ἐν μέσῳ τοῦ σταδίου κηρύξας, πείθων καὶ λέγων τὸν γεννηθέντα, καὶ παθόντα, καὶ ταφέντα, καὶ τριήμερον ἐκ νεκρῶν ἀναστάντα Ἰησοῦν, Υἱὸν αὐτοῦ εἶναι Θεοῦ. Ἀξίως οὖν καὶ ἡμεῖς εὐσεβοφρόνως κράζομεν αὐτῷ. Χαίροις προστάτα πατὴρ ἡμῶν Ἰαννουάριε.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Σκιρτήσατε χορεύσατε, μετ' εὐφροσύνης ᾄσατε, λαοί φυλαί τε, καὶ γλῶσσαι, τῆς Νεαπόλεως πάσης, ἐπὶ τῇ μνήμῃ σήμερον, τοῦ θείου ἀρχιποίμενος, σεπτοῦ Ἱερομάρτυρος, θερμοῦ προστάτου ἁπάντων, αὐτὸν τιμώντων ἐκ πόθου. Καὶ τῆς Ἑορτῆς.

*Εἰς τοὺς Αἴνους. Πᾶσα πνοή, ἱστῶμεν στίχ. δ'. Στιχηρὰ προσόμοια, ἦχ. ά, Τῶν οὐρανίων ταγμάτων.*

Τῆς ἀληθείας τὸ ἔαρ λαμπρῶς ἐφέστηκε, καὶ νεουργεῖ τὴν κτίσιν εὐσεβεῖ ἐπιγνώσει, Χριστοῦ τοῦ ζωοδότου, ὅθεν σαφῶς, φωτισθεὶς τὴν διάνοιαν, ὁ ἀθλητὴς τοῦ Κυρίου τὴν τῶν ἐχθρῶν, κατεπάτησεν ἀπόνοιαν

Τοὺς ἱεροὺς σου ἀγῶνας πιστῶς γεραίρομεν, ἀθλητικοῖς καμάτοις, οὓς διήνυσας χαίρων, ἐν μέσῳ τῆς καμίνου, καὶ γὰρ ἐπιστάς, Ἰαννουάριε ἔνδοξε, εἰς δρόσον ταύτην μετέβαλεν ὁ Χριστός, δι' ὃν χαίρων ἐκοπίασας.

Ἡ τῶν λειψάνων σου θήκη Ἱερομάρτυς Χριστοῦ, ὡς ποταμὸς ἐκβλύζει τῶν ἰάσεων ῥεῖθρα, καὶ πάντων καταρδεύει τῶν εὐσεβῶν, τὰς καρδίας πανένδοξε Ἰαννουάριε μάκαρ τῶν ἐν αὐτῇ, προσφοιτώντων μετὰ πίστεως.

Δεῦτε συμφώνως ἐν πίστει ἀνευφημήσωμεν, τὴν θείαν συνοδίαν τοῦ σοφοῦ Ἱεράρχου, τὸν Πρόκουλον, καὶ Σῶσσον, καὶ Ἀκουτίωνα, Δησιδέριον, Φαῦστόν τε, καὶ τὸν Εὐτόλμιον ἅμα, καὶ σὺν αὐτοῖς, Ἰαννουάριον τὸν ἔνδοξον. Δόξα, ἦχος πλ. ά.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, σκιρτήσωμεν ἑόρτια, καὶ χορεύσωμεν ἀγαλλόμενοι, τῇ ἐτησίῳ πανηγύρει τοῦ Θεοφόρου πατρός. Βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τὸν τῆς εὐσεβείας θερμότατον προστάτην, Βασιλέα πείθοντα παρανομεῖν μὴ θέλοντα, ἀπολῦσαι ἀναιτίους πάσχοντας. Ποιμένες καὶ διδάσκαλοι, τὸν τοῦ καλοῦ ποιμένος ὁμόζηλον ποιμένα, συνελθόντες εὐφημήσωμεν. Οἱ ἐν νόσοις τὸν ἰατρόν, οἱ ἐν κινδύνοις τὸν ῥύστην, οἱ ἁμαρτωλοὶ τὸν προστάτην, οἱ πένητες τὸν θησαυρόν, οἱ ἐν θλίψεσι τὴν παραμυθίαν, τὸν συνοδίτην οἱ ὁδοιπόροι, οἱ ἐν θαλάσσῃ τὸν κυβερνήτην, οἱ πάντες τὸν πανταχοῦ θερμῶς προφθάνοντα μέγιστον

*Ἱερομάρτυρα, ἐγκωμιάζοντες οὕτως εἴπωμεν. Πανάγιε Ἰανουάριε, πρόφθασον ἐξελοῦ ἡμᾶς τῆς ἐνεστώσης ἀνάγκης καὶ σῶσον τὴν ποίμνην σου ταῖς ἱκεσίαις σου. Καὶ νῦν. Ἀναστάσεως ἡμέρα. Δοξολογία μεγάλη καὶ ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν, Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ᾠδὴ γ'. καὶ ϛ'. Ἀπόστολον ἀνάγνωθι τοῦ Ἁγίου Δημητρίου. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον. Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην. Ὡμοιώθη ἡ βασιλεία τῶν Οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ κτλ. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον*

---

## ΛΟΓΟΣ ΕΓΚΩΜΙΑΣΤΙΚΟΣ
## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΑΝΝΟΥΑΡΙΟΝ

*«Ὡμοιώθη ἡ Βασιλεία τῶν Οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ.* (*Ματθαῖος κεφ. κ'.*)

Πολλοὶ ἐστάθηκαν οἱ ἐργάται τοῦ ἀμπελῶνος τοῦ μυστικοῦ, ἀναρίθμητοι οἱ ὑπουργοὶ τοῦ Οἰκοδεσπότου τοῦ Εὐαγγελικοῦ τοῦ σημερινοῦ, ὅλοι ἀκούοντες τὴν συμφωνίαν, ὅλοι ἀκούοντες τὴν ἀντιμισθίαν, ἔτρεξαν μὲ μεγάλην προθυμίαν, ἀπὸ τὴν πρώτην ὥραν ἕως τὴν ἑνδεκάτην, καὶ ἐδούλευσαν καλώτατα ἕως τὴν δωδεκάτην. Ἔτρεξαν οἱ δώδεκα τοῦ Χριστοῦ θεῖοι Ἀπόστολοι, ἔτρεξαν οἱ ἑβδομήκοντα, ἔτρεξαν οἱ Μάρτυρες, ἔτρεξαν οἱ Ὅσιοι, ἔτρεξαν οἱ Δίκαιοι, ἔτρεξαν ἀκόμη καὶ πόρνοι, καὶ ἁμαρτωλοί, καὶ ὅσοι ἔτρεξαν, ὅσοι ἔδραμον εἰς τὸν μυστικὸν ἀμπελῶνα, εἰς τὴν πίστιν τὴν ἀληθινήν, τὴν ἁγίαν, ὅσοι ἔκαμαν καλὴν ἐργασίαν, ὅσοι ὡμολόγησαν τὴν καλὴν ὁμολογίαν, ὅλοι ἔλαβον τὸ δηνάριον, τὸν στέφανον τὸν ἀμαράντινον, ὅλοι ἔλαβον τὴν ἀντιμισθίαν, τὴν Οὐράνιον καὶ θείαν Βασιλείαν· ἀνάμεσα εἰς ὅλους ἐκείνους, ὁποῦ ἔτρεξαν εἰς τὸν ἀμπελῶνα τοῦ Χριστοῦ χριστιανοί μου, ἕνας ἐστάθηκε καὶ ὁ σήμερον ἑορταζόμενος ἔνδοξος Ἱερομάρτυς Ἰανουάριος, ὁ ὁποῖος πόσον ἐδούλευσεν ἐν τῷ μυστικῷ ἀμπελῶνι, πόσον ἐκοπίασεν ἐν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ, πόσον ἠγωνίσθηκεν ὑπὲρ τῆς εὐσεβείας, προσέχετε νὰ τὸ ἀκούσετε.

Ἐκάλεσεν ὁ Χριστὸς τὸν ἔνδοξον τοῦτον Ἰανουάριον, ἀπὸ τὴν πρώτην ὥραν ὁποῦ ἐκάλεσε καὶ τοὺς ἁγίους αὐτοῦ μαθητάς, καὶ Ἀποστόλους, καὶ τὸν ἐκάλεσε μὲ τὸ μέσον τούτων τῶν ἁγίων αὐτοῦ Μαθητῶν, τοὺς ὁποίους ἀπέστειλεν ὁ Χριστὸς λέγων. «Πο»ρευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ Εὐαγγέλιον πάσῃ »τῇ κτίσει, ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας »κατακριθήσεται». Τότε δὴ τότε, διασπαρέντες οἱ θεῖοι Ἀπόστο-

λοι εἰς ὅλον τὸν Κόσμον, καθὼς καὶ εἰς ἄλλους πολλούς, οὕτω καὶ τὸν ἔνδοξον Ἰανουάριον, ὄχι μόνον ἐσαγήνευσαν εἰς τὴν πίστιν τοῦ Χριστοῦ, ἀλλὰ βλέποντες αὐτὸν νὰ εἶναι κατοικητήριον τοῦ ἁγίου Πνεύματος, τὸν ἐχειροτόνησαν καὶ Ποιμένα τοῦ μυστικοῦ ἀμπελῶνος τῆς Ἱερᾶς Ἐκκλησίας, καὶ τοῦ ἔδωκαν τὴν ποιμαντικὴν ἐξουσίαν εἰς ὅλην ταύτην τὴν εὐδαίμονα Καμπανίαν, εἰς ὅλην ταύτην τὴν Ἐπαρχίαν. Ὅστις ὡς ἄξιος εἰργάτης ἐργάζετο εἰς τὸν ἀμπελῶνα τὸν μυστικόν, ὡς πιστὸς ὑπηρέτης ὑπηρετοῦσε τὸ ἔργον τὸ πνευματικόν, καὶ ὡς φρόνιμος οἰκονόμος οἰκονομοῦσε τὴν σωτηρίαν τῶν ψυχῶν τοῦ λογικοῦ του ποιμνίου. Καὶ μὲ ὅλον ἐκεῖνον τὸν κατὰ Θεὸν ζῆλον ἐκήρυττε παρρησία εἰς ὅλους καὶ πιστούς, καὶ ἀπίστους τὴν ἀλήθειαν· καὶ τοὺς μὲν πιστοὺς ἐστερέωνεν εἰς τὴν πίστιν, τοὺς δὲ ἀπίστους καθοδηγοῦσε καὶ ἐπαρακινοῦσε νὰ πιστεύσουν εἰς τὸν ὄντως ὄντα Θεόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· καὶ πολλοὶ τῶν Ἑλλήνων ἀκούοντες τὴν διδασκαλίαν του, ἐπίστευον καθ' ἑκάστην ἱκανοὶ καὶ ἐβαπτίζοντο, καὶ ἀπὸ προσκυνηταὶ τῶν εἰδώλων, ἐγίνοντο προσκυνηταὶ τοῦ ἀληθινοῦ Θεοῦ. Τόσον ὅπου ἀπὸ τὴν πολλήν του παρρησίαν, ἀπὸ τὴν πιστήν του ἐργασίαν, ἐξεχύθη ἡ φήμη τοῦ ὀνόματός του παντοχοῦ, καὶ ἔφθασεν ἕως καὶ εἰς τὰ ὦτα τοῦ ἀσεβεστάτου Βασιλέως Διοκλητιανοῦ· καὶ παρευθὺς ὡς τὸ ἤκουσε, γράφει τοῦ ἄρχοντος Καμπανίας Τιμοθέου, ὅτι νὰ ἐρευνήσῃ τὰ περὶ τοῦ ἁγίου, καὶ ἐὰν ἀληθεύωσι, νὰ τοῦ τὸν στείλῃ σιδηροδέσμιον, νὰ τὸν ἐξετάσῃ αὐτὸς ἀμέσως. Ἐξέτασεν, ἔμαθεν ὁ ἄρχων τοῦ σκότους τὴν ἀλήθειαν, ἀλλ' ὡς σκοτεινὸς δὲν ἐγνώρισε τὸ φῶς, ὅθεν καὶ ἀποστέλλει τὸν ἅγιον, μαζὶ μὲ τὴν καλήν σου συνοδίαν, εἰς τὴν καλὴν τῆς πίστεως ὁμολογίαν. Φθάνων λοιπὸν ὁ ἔνδοξος Ἰανουάριος εἰς Ποτιόλους, ἐπαραστάθη ἔμπροσθεν τοῦ Βασιλέως, καὶ ἐκεῖ μὲ πολλὴν ἐλευθερίαν κηρύττει τὴν ἀλήθειαν παρρησία, ὁμολογεῖ τὸν Χριστὸν διὰ Θεὸν ἀληθινόν, κτίστην καὶ δημιουργὸν τοῦ παντός. Ὁ δὲ παράνομος Βασιλεύς, ἐδοκίμασε μὲ ὅλους τοὺς τρόπους τὸν ἅγιον νὰ δυσωπήσῃ, καὶ εἰς τὰ παράνομά του θελήματα νὰ τὸν γυρίσῃ, τώρα μὲ ὑποσχέσεις καὶ κολακείας, καὶ τώρα μὲ φοβερισμοὺς καὶ μηχανουργίας. Ἀλλ' ὁ μάρτυς τοῦ Χριστοῦ μᾶλλον ὑπὲρ τῆς ἀληθείας ἐκραταιοῦτο, περισσότερον ὑπὲρ τῆς εὐσεβείας ἠγωνίζετο, καὶ ἔλεγεν ὅτι εἶμαι ἕτοιμος καὶ σῶμα, καὶ ψυχὴν νὰ θυσιάσῃ διὰ τὰ οὐράνια ἐκεῖνα ἀγαθά, ὅπου θέλῃ ἀπολαύσῃ. Διὰ τοῦτο καὶ ὁ τύραννος ἀφήνει τὰς κολακείας, καὶ ἀρχίζει τὰς τιμωρίας, καὶ προστάσσει νὰ τανύσουν εἰς τὴν γῆν τὸν ἅγιον νὰ τὸν τύπτουσι δυνατά, καὶ ἀσυμπάθητα· καὶ τούτου γενομένου, ἡ μὲν

οὐ λιμός, οὐ κίνδυνος, οὐδ ἄλλο τι τῶν θλιβερῶν, δύναται ὑμῶν κύριεῦσαι. Σατορνῖνος καὶ οἱ λοιποί, ὡς ἐξ ἑνὸς στόματος ἀπεκρίθησαν. Πιστεύομεν κύριοι, ὅτι μέγας ἐστὶν ὁ Θεὸς ὑμῶν, καὶ ἔγνωμεν ἀληθῶς, ὅτι οὐκ ἔστιν ἐν ἄλλῳ τινὶ ἡ βοήθεια καὶ σωτηρία, εἰ μὴ ἐν τῷ ὀνόματι αὐτοῦ. Καὶ πάλιν τῶν ἁγίων προσευξαμένων, ἐξαίφνης ἐπληρώθη τὸ δεσμωτήριον εὐωδίας· ὡς ἵνα εἴποι τις, ὅτι πάντα τὰ ἀρώματα καὶ πᾶν κρίνον τοῦ ἀγροῦ καὶ ῥόδον, καὶ πᾶν ἄνθος εὔοσμον ἐκεῖσε συνείλεκτο· καὶ λοιπὸν ἦσαν ἅπαντες χαίροντες καὶ ἀγαλλιώμενοι ὡς ἐν παραδείσῳ Θεοῦ. Ὁ δὲ δεσμοφύλαξ Ἀντώνιος, ὁ τὴν φυλακὴν πεπιστευμένος, ἀνακείμενος ἐπὶ τῆς κλίνης αὐτοῦ, ὡς ἤσθετο τῆς εὐωδίας, θᾶττον ἀνέστη, καὶ διαγρηγορήσας, ἦν γὰρ λοιπὸν μεσονύκτιον, εἶδε φῶς ἐν τῇ φυλακῇ διά τινος ὀπῆς μέγα, καὶ περιστερὰν λευκὴν τοῖς ἁγίοις περιῒπταμένην· ἤκουσε δὲ καὶ φωνὴν ὑμνῳδίας, ὡς ἀπὸ πολλοῦ γενομένην ὄχλου. Ὃς ἐκπλαγεὶς ἐπὶ τῷ παραδόξῳ θαύματι, ἤνοιξε μὲν εὐθὺς τὰς θύρας τῆς φυλακῆς, εἰσήλατο δὲ ἔντρομος ἔνδον, καὶ προσπεσὼν τοῖς ἁγίοις, ἠξίου λαβεῖν, μεθ' ὧν ἐφρούρει λῃστῶν, τὴν δι' ἁγίου Πνεύματος ἀναγέννησιν. Ὁ δὲ μακάριος Ἰάσων, ἐνεχθέντος ὕδατος, ἔδωκεν αὐτῷ καὶ τοῖς ἐν τῷ δεσμωτηρίῳ τὸ λουτρὸν τῆς ἐπουρανίου χάριτος· καὶ ἔδειξε παρευθὺς τοὺς τῶν δαιμόνων θεραπευτάς, υἱοὺς Θεοῦ καὶ κληρονόμους διὰ τοῦ ἁγίου βαπτίσματος. Μεθ' ἡμέρας δέ τινας μαθὼν ταῦτα ὁ βασιλεύς, ἐκέλευσε παραστῆναι τῷ βήματι αὐτοῦ τὸν Ἀντώνιον. Οἱ δὲ στρατιῶται ἐλθόντες, καὶ παρακύψαντες ἐν τῇ φυλακῇ, ἐξέστησαν ἰδόντες τὰ θαυμάσια τοῦ Θεοῦ· ἴδον γάρ τινα νεανίσκον φοβερὸν ἐξαστράπτοντα, ἐν μὲν τῇ δεξιᾷ αὐτοῦ χειρὶ κατέχοντα σταυρόν, ἐν δὲ τῇ εὐωνύμῳ ρομφαίαν· ἐθεάσαντο δὲ καὶ ἑτέρους ἄνδρας δέκα ἑστῶτας ἐν τῇ φυλακῇ, χρυσοῦς στεφάνους ἔχοντας ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ φωνῆς ἤκουσαν, ψαλλόντων αὐτῶν καὶ λεγόντων· Ἅγιος ἅγιος ἅγιος Κύριος Σαβαώθ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Καὶ μὴ τολμήσαντες εἰσελθεῖν, ὑπέστρεψαν πρὸς τὸν βασιλέα, καὶ ἀπήγγειλαν αὐτῷ πάντα, ἃ ἴδον καὶ ἤκουσαν ἐν τῇ φυλακῇ. Ὁ δὲ βασιλεὺς ἀκούσας ταῦτα, καὶ ἔκθαμβος γεγονώς· ἐδόκει γὰρ ὡς ἔκ τινος ἐπαοιδίας τὰ δραθέντα τοῖς στρατιώταις γενέσθαι, ἠρέμει, καὶ ἠπόρει τὸ τί διαπράξηται. Μετ' ὀλίγον δὲ μεταστέλλεταί τινα τῶν ἐπαοιδῶν, καὶ φησὶ πρὸς αὐτόν. Εἴ σοί τίς ἐστι δύναμις πρὸς Διὸς δεδωρημένη, διεγέρθητι, καὶ στῆθι κατὰ τῶν ἐναντίων, Ἰάσονος καὶ Σωσιπάτρου, τῶν μαγγανείαις τερατοποιῶν· ἐξιστῶσι γὰρ τὴν πόλιν ἡμῶν ξένας παραδεικνύντες μορφάς, καὶ ἰδοὺ πάντες ὀπίσω αὐτῶν ὑπάγουσιν. Ὁ δὲ ἐπαοιδὸς ἀπεκρίθη τῷ βασιλεῖ. Μόνον κέλευσον, ὦ βασιλεῦ, καὶ πάντα γίνονται ἐν τάχει τὰ

σοὶ καταθύμια. Καὶ ὁ βασιλεύς· Ὃ βούλει ποιεῖν, ποίησον τάχιον. Τότε ᾐτήσατο ὁ πλάνος ἐκεῖνος ἐνεχθῆναι αὐτῷ ζεῦγος βοῶν, καὶ ἄροτρον, καὶ σῖτον· καὶ τούτων ἐν τάχει ἐνεχθέντων, λαβὼν τὸν σῖτον ὁ τοῦ ψεύδους καὶ τῆς ἑαυτοῦ ἀπωλείας γεωργός, τὸ δοκεῖν ἔσπειρε καὶ ἠροτρίασε· καὶ ἐν αὐτῇ τῇ ὥρᾳ καὶ ἐβλάστησεν ὁ σῖτος, καὶ εἰς κάλαμον ἦλθε καὶ στάχυν· καὶ χιτῶνες ἐν τῷ καλάμῳ. καὶ ἀνθέρικες ἐν τῷ στάχυϊ, καὶ ὡράθη λευκὴ ἡ χώρα, καὶ πρὸς θερισμὸν ἐπιτηδεία· ἦν καὶ θερίσας ὁ πλάνος ἐκεῖνος, καὶ τὸν σῖτον ἀποκαθάρας, εἶτα τὴν μύλην ἀγαγὼν ἔμπροσθεν τοῦ βασιλέως, καὶ τὸν σῖτον ἀλήσας καὶ φυράσας, ἐποίησεν ἄρτον ἐπὶ χεῖρας. Καὶ βλέπων εἰς αὐτόν, ἐξεπλήττετο· εἶτα γευσάμενος ἐβόησεν οὕτως. Ὦ Ζεῦ, μέγιστε τῶν λοιπῶν θεῶν· μέγας εἶ ὄντως· καὶ οὐκ ἔστι δυνατὸς πλὴν σοῦ, ὁ ἐν μιᾷ ὥρᾳ καὶ σπείρειν καὶ θερίζειν καὶ ἀλᾶν καὶ ἀρτοποιεῖν παρέχων τοῖς φοβουμένοις σε. Ταῦτα φλυαρήσας ὁ βασιλεύς, ἐπιστραφεὶς πρὸς τοὺς συνειλεγμένους λέγει· Οὐδέποτέ τι τοιοῦτον ἐγὼ ἤκουσα τῶν πάλαι ἢ τῶν νῦν· καὶ πῶς πλανῶνταί τινες ὀπίσω τῶν φασματοποιῶν ἐκείνων, θαυμάζω. Καὶ τῇ ἔωθεν ἀναστὰς ἀπὸ τῆς κοίτης αὐτοῦ, μετὰ τῆς εἰωθυίας δορυφορίας παραγίνεται ἐν τῇ φυλακῇ, καὶ κελεύει μόνον τὸν δεσμοφύλακα Ἀντώνιον ἐξελθεῖν. Ὡς οὖν ἐξῆλθε, βλέψας εἰς αὐτὸν πικρὸν καὶ ἀνήμερον, εἶπεν αὐτῷ· Λέγει μοι σὺ μιαρώτατε καὶ τῆς τῶν θεῶν εὐμενείας ἀλλότριε, τίς σε πονηρὸς οὕτω δαίμων ἐπὶ κακὴν εἱμαρμένην ἐλάσας, πέπεικε τὰ ἀρχαῖα ἔθη καὶ τὴν πατρῴαν εὐδαιμονίαν καταλιπεῖν, καὶ τῇ τῶν Χριστιανῶν προσοικειωθῆναι πλάνῃ; τί γὰρ καὶ θαύματος ἄξιον ἐν ἐκείνοις ἑωρακώς, τοῦτο πρᾶξαι τετόλμηκας; Ὁ δὲ Ἀντώνιος πρὸς ταῦτα μὲν οὐδὲν ἀπεκρίθη· τὸ δὲ σημεῖον τοῦ σταυροῦ κατὰ τῆς ὄψεως τοῦ τυράννου πεποίηκεν. Ὁ δέ, θυμοῦ πολλοῦ πλησθείς, τὴν δεξιὰν αὐτοῦ χεῖρα τμηθῆναι παραχρῆμα κελεύει. Καὶ τούτου γενομένου, λέγει ὁ βασιλεὺς πρὸς τὸν μακάριον Ἀντώνιον. Ποῦ ἐστιν ὁ Θεός σου ἐκεῖνος, ὃν σέβῃ; εἰ γὰρ ἠδύνατο σώζειν, ὡς σὺ πλανᾶσαι, τοὺς πιστεύοντας εἰς αὐτόν, τάχα ἂν καὶ νῦν ἐρρύσατο καὶ σὲ τῆς παρούσης ἀνάγκης. Ὁ ἅγιος Ἀντώνιος λέγει· Γίνωσκε βασιλεῦ, ὡς οὐδὲν ἀδυνατεῖ τῷ Θεῷ μου· πλὴν βούλεται διὰ τῶν βασάνων τούτων καθαρίσαι με τῶν πολλῶν μου ἁμαρτιῶν, ὧν ἐν ἀγνοίᾳ διαπραξάμην ἐν τῷ δε τῷ μοχθηρῷ βίῳ, λατρεύσας εἰδώλοις κωφοῖς καὶ ἀναισθήτοις· καὶ διὰ τῆς ὑπομονῆς καὶ καρτερίας στεφανῶσαι, καὶ τῆς μερίδος τῶν σωζομένων καταξιῶσαι· οὗτος γάρ ἐστι μόνος Θεὸς ζῶν, ἀληθινός, ἰσχυρός, ἐξουσιαστής, δημιουργὸς τῶν ὅλων, καὶ σωτὴρ πάντων τῶν ἐπικαλουμένων αὐτόν· οἱ δὲ σοὶ θεοί, βδελύγματά εἰσι κωφὰ καὶ ἀναίσθητα, δαιμονίων ἀκαθάρτων σκη-

νώματα, τῶν μελλόντων αἰωνίῳ πυρὶ παραδίδοσθαι, μετὰ τῶν σεβόντων αὐτά· οἷς ὅμοιοι γένοιντο οἱ ποιοῦντες αὐτά, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Ὁ βασιλεὺς εἶπεν· Οὐκοῦν, ἐπειδὴ ἥδιστα καὶ ποθεινὰ τῷ δῆθεν ἀθλητῇ τοῦ ἐσταυρωμένου λογίζεται, καὶ τὴν εὐώνυμον αὐτοῦ, τμηθῆναι χεῖρα προστάττω, εἶθ' οὕτω καὶ τοὺς δύο πόδας· καὶ ἴδωμεν, εἰ ἔλθοι βοηθήσων αὐτῷ ὁ Θεὸς αὐτοῦ. Καὶ τούτων μετὰ πολλοῦ τοῦ τάχους γινομένων, τῆς αὐτῆς εἶχετο καρτερίας ὁ ἅγιος· οὕτω γὰρ διέκειτο, ὡς ἐν ἀλλοτρίῳ σώματι πάσχων. Ἄγγελος δὲ Κυρίου ἐπιστὰς αὐτῷ, θάρσους ἔπλησε. καὶ ἔτι μικρὸν ὑπομεῖναι παρεκελεύσατο. Ὁ δὲ ἅγιος Ἀντώνιος χαρᾶς πλησθείς, προσηύξατο λέγων. Εὐχαριστῶ σοι Κύριε Ἰησοῦ Χριστέ, ὅτι κατηξιώθην ὑπὲρ τοῦ ὀνόματός σου τοῦ ἁγίου ταῦτα παθεῖν, καὶ ὅτι ἔδειξας τὰ ἐλέη σου εἰς ἐμὲ τὸν ἀνάξιον, καὶ ἀπέστειλας τὸν ἄγγελόν σου καὶ ἐνίσχυσέ με, καὶ παρέσχε μοι δύναμιν καὶ προθυμίαν τοῦ καταλῦσαι τελείως δέσποτα τὸ θράσος τοῦ παρανόμου τούτου καὶ τὰς ἐπινοίας· πέπεισμαι γάρ, ὅτι τοῖς εἰς σὲ πιστεύουσιν ἐν παντὶ τοπῳ οὐ διαλείπεις βοηθῶν καὶ ἀντιλαμβανόμενος Ταῦτα ἀκούσας ὁ βασιλεύς, καὶ ἐμμανὴς γενόμενος εἶπεν. Ἐγώ σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς ἐν τάχει ἀφανίσω· ἵνα γνῶσι πάντες, ὅτι εἰς ἄνθρωπον βιοθανῇ τὰς ἐλπίδας ἔχεις, καὶ οὐχὶ εἰς Θεόν. Ὁ ἅγιος Ἀντώνιος εἶπε· Βούλει γνῶναι κύων ἀναιδέστατε καὶ ἀκάθαρτε, ὅτι πάντα δυνατὰ τῷ Θεῷ μου ; ὅρα. Καὶ πάντων εἰς αὐτὸν ἀτενισάντων, αὐτὸς ἀναβλέψας εἰς τὸν οὐρανὸν εἶπε· Κύριε Ἰησοῦ Χριστέ, πάταξον τῇ ρομφαίᾳ σου τοὺς ἀντιτασσομένους τῷ κράτει σου, ὅπως καὶ αὐτῇ τῇ πείρᾳ μάθωσιν οἱ ἀπειθεῖς τὴν μεγαλωσύνην σου καὶ τὴν δυναστείαν σου. Καὶ ἅμα τῷ εἰπεῖν αὐτὸν ταῦτα, πῦρ ἔπεσεν ἀπὸ τοῦ οὐρανοῦ μετὰ ἤχου σφοδροῦ καὶ βροντῆς φοβερᾶς ἐπὶ τὸ παλάτιον· καὶ παρευθὺς κατέκαυσε τὴν γυναῖκα τοῦ βασιλέως, καὶ τοὺς δύο αὐτοῦ υἱούς. Τότε ἐγένετο φόβος μέγας ἐπὶ πᾶσαν τὴν πόλιν, καὶ πολλοὶ ἐπέστρεψαν ἐπὶ τὸν Κύριον· καὶ αὐτὸς δὲ ὁ βασιλεὺς φοβηθεὶς πάνυ, ἔφυγεν ἀπὸ τοῦ παλατίου αὐτοῦ· μὴ συνιεὶς δὲ ὁ ἄθλιος τὴν δύναμιν τοῦ Χριστοῦ· καὶ γὰρ ἦν ἐσκοτισμένος τῇ διανοίᾳ τῇ τοῦ διαβόλου μέθῃ· καὶ προσέταξεν ἔμπροσθεν αὐτοῦ συρόμενον ἀχθῆναι τὸν ἅγιον Ἀντώνιον. Ἀχθέντος δὲ αὐτοῦ, διελάλησεν ὁ βασιλεὺς οὕτως. Εἴδετε πῶς αἱ μαγεῖαι τοῦ παμπονήρου τούτου, καὶ τῶν νεφῶν αὐτῶν ἥψαντο; Ὁ ἅγιος Ἀντώνιος εἶπε. Τὰ νέφη τὸ κέλευσμα τοῦ ἑαυτῶν δεσπότου ἐποίησαν. Ὁ βασιλεὺς λέγει. Οὐκοῦν καὶ τῶν νεφῶν αὐτὸς δεσπόζεις ; Οὐκ ἐγώ, φησίν, ἀλλ' ὁ Κύριός μου Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Καὶ βουληθεὶς ἐν ὀργῇ δράξασθαι τοῦ μακαρίου πρὸς τὸ διασπαράξαι αὐτόν, ἔμεινεν ἀνενέργητος· εὐθέως γὰρ αἱ

χεῖρες αὐτοῦ παρελύθησαν· καὶ δὴ γενόμενος ἐν ἀπορίᾳ, ἐκέλευσε συρόμενον αὐτόν, ἔξω τῆς πόλεως ριφθῆναι, καὶ οὕτως ἀποκεφαλισθῆναι. Ὁ δὲ ἅγιος Ἀντώνιος, ἤδη μέλλων ἐκλείπειν, ἔλεγε μετὰ δακρύων εὐχόμενος. Κύριε ὁ Θεὸς τῶν δούλων σου Ἰάσονος καὶ Σωσιπάτρου, πρόσδεξαι ἐν εἰρήνῃ τὸ πνεῦμά μου, καὶ ἀνάπαυσόν με ἐν ταῖς σκηναῖς τῶν δικαίων σου. Καὶ εὐθέως ἐγένετο φωνὴ πρὸς αὐτὸν οὐρανόθεν λέγουσα. Χαίροις Ἀντώνιε ἀθλητά, καλῶς ἠγωνίσω, μακάριος εἶ ἐν ἀνδράσι· δεῦρο λοιπόν, ἀναπαύου ἐν τῇ ἡτοιμασμένῃ σοι δόξῃ καὶ βασιλείᾳ. Καὶ ψάλλων ὁ ἅγιος. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία, παρέδωκε τὴν ἁγίαν αὐτοῦ ψυχὴν εἰς χεῖρας Θεοῦ ζῶντος.

Ἀνὴρ δέ τις εὐλαβὴς Θεοδόσιος τοὔνομα, πρεσβύτερος τῷ τότε χρόνῳ ὑπάρχων, κρυπτόμενος διὰ τὸν φόβον τοῦ τυράννου, θεωρῶν ἕκαστα καὶ γράφων ἥρπασε νυκτὸς σὺν ἑτέροις ἀδελφοῖς τὸ τίμιον λείψανον τοῦ ἁγίου Ἀντωνίου, καὶ ἔκρυψεν αὐτὸ ὑπὸ τὴν γῆν μετὰ τῆς πρεπούσης τιμῆς, ἐν μέσῳ τοῦ ναοῦ τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου. Ὁ δὲ βασιλεὺς μετὰ δύο ἡμέρας ἐκέλευσε παραστῆναι αὐτῷ τοὺς ἁγίους Ἰάσονα καὶ Σωσίπατρον. Ὡς δὲ παρέστησαν, εἶπεν αὐτοῖς· Μὴ νομίσητε καὶ τὴν νῦν δίκην παραπλησίαν ἔσεσθαι τῆς προτέρας· καὶ γὰρ ἡ τῶν ἐμῶν ἀπαλότης ῥημάτων, εἰς θρασύτητά πως ἀρθῆναι τὴν ἡμετέραν εὐήθειαν παρεσκεύασε· καὶ πολλῶν κακῶν καὶ ταραχῆς αἴτιοι τῇ ἐμῇ ἀρχῇ καὶ τῇ πόλει γεγόνατε· πρὶν οὖν τῶν αὐτῆς αὐστηρῶν πειραθῆναι κολαστηρίων, ἐρρῶσθαι φράσατε τῇ κενῇ ταύτῃ καὶ ματαίᾳ θρησκείᾳ, ὑποκύπτοντες τοῖς παρ' ἐμοῦ λεγομένοις. Οἱ ἅγιοι εἶπον· Ἡμεῖς, ὦ βασιλεῦ, τὴν ἀληθινὴν πίστιν ὑπὸ τῶν ἁγίων τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διδαχθέντες ἀποστόλων, οὐ δυνάμεθα καταλιπεῖν τὸ φῶς, καὶ προσδραμεῖν τῷ σκότει· ἕνα Θεὸν οἴδαμεν, ἐν τρισὶν ὑποστάσεσι γνωριζόμενον, καὶ αὐτῷ μόνῳ τὴν ἀληθινὴν προσκύνησιν καὶ τὸ σέβας καὶ τὴν εὐχαριστίαν προσφέρομεν, ὑπὲρ τῆς εὐσεβείας τοίνυν ταύτης. ἧγουν τῆς εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, τῆς μιᾶς θεότητός τε καὶ συμφυΐας, ἀπείλει, τιμώρει, σφάττε, ποίει ὃ θέλεις· ἡμῖν γάρ, ὡς εἶπεν ὁ διδάσκαλος ἡμῶν, τὸ ζῆν Χριστός· καὶ τὸ ἀποθανεῖν ὑπὲρ αὐτοῦ κέρδος καὶ δόξα. Ὁ βασιλεὺς εἶπεν· Ἠκούσατε οἵας τιμωρίας ὑπέστη, καὶ οἵῳ παρεδόθη θανάτῳ πρὸ τούτων τῶν δύο ἡμερῶν Ἀντώνιος ἐκεῖνος ὁ καπικλάριος, ὁ ἀπατηθεὶς παρ' ὑμῶν; Ἀπεκρίθησαν αὐτῷ οἱ ἅγιοι· Ἠκούσαμεν βασιλεῦ, καὶ ἐδοξάσαμεν τὴν δύναμιν τοῦ Χριστοῦ· ὅτι διὰ πίστεως καὶ ὑπομονῆς κατέβαλέ σου τὴν πολλὴν καὶ ἀνυπέρβλητον ἀπήνειαν καὶ κακότεχνον γνώμην, καὶ ἀπέλαβε τὸ στέφος τῆς ἀφθαρσίας παρὰ τοῦ Κυρίου ἡμῶν

Ἰησοῦ Χριστοῦ. Ὁ βασιλεὺς εἶπεν· Οὐ καλῶς εἶπον, ὅτι τῶν ἐμῶν ῥημάτων ἡ ἀπαλότης εἰς θρασύτητα ὑμᾶς ἕλκει; θύσατε οὖν τοῖς θεοῖς· ἐπεί, τὰ σώματα ὑμῶν ἄρτι ἀφανίσω ταῖς τιμωρίαις, ὑμεῖς εἰς τὰς μαγείας ὑμῶν θαρροῦντες, δι' ὧν πολλοὺς ἠπατήσατε, οἴεσθε κἀμοῦ περιγενέσθαι, ἀλλ' οὐκ ἰσχύσετε. Εἰσὶ γὰρ παρ' ἡμῖν ὑποφῆται, μείζονα τῇ δυνάμει τῶν θεῶν σημεῖα ποιοῦντες ὑμῶν. Ὁ ἅγιος Ἰάσων εἶπε· Καὶ δυνάμεθα αὐτοὺς ἰδεῖν; Ὁ δέ, καὶ πάνυ μάλα ἔφη. Ὁ ἅγιος Ἰάσων ἔφη· Ἐλθέτωσαν οὗτοι βασιλεῦ καὶ παρὰ σοὶ σημειοφόροι τῇ δυνάμει τῶν θεῶν σου. Ὁ δὲ βασιλεὺς περιχαρὴς γεγονώς, εἶπε· μὰ τοὺς θεοὺς ἅπαντας καλῶς εἶπας· γενέσθω οὕτως· Ἐδόκει γὰρ ὁ ἀνόητος διὰ μαγικῶν ἐνεργειῶν τὴν ἐν ἁγίοις ἐνοικοῦσαν χάριν νικᾷν· καὶ ἤνεγκεν τὸν μάγον ἐκεῖνον, τὸν ἐν μιᾷ ὥρᾳ καὶ σπείραντα καὶ θερίσαντα, καὶ ἄρτον κατὰ φαντασίαν ποιήσαντα. Ὁ δὲ ἅγιος Ἰάσων λέγει πρὸς τὸν βασιλέα· οὗτός ἐστιν ὁ τῇ δυνάμει τῶν θεῶν σου ἐνεργῶν τὰ παράδοξα; Καὶ ὁ βασιλεὺς ἔφη· οὗτός ἐστιν. Ὁ ἅγιος Ἰάσων εἶπεν· ἀληθῶς ἤγγικεν ἡ ἡμέρα τῆς ἀπωλείας αὐτοῦ· ἵνα σὺν αὐτῷ καταργηθῇ τὰ ἐκ δαιμονικῆς ἐνεργείας ἐπιτηδεύματα, ἃ ποιεῖν εἴωθεν εἰς ἀπάτην καὶ ἀπώλειαν τῶν ἀστηρίκτων ψυχῶν. Ὁ δὲ βασιλεὺς δοκῶν ἐξ ἀπορίας ταῦτα λέγειν τὸν ἅγιον, ἐμειδία καὶ παρεθάρρυνε τὸν ἀπατεῶνα λόγοις προτρεπτικοῖς. Ὡς οὖν ἔστη ἐπὶ τοῦ τόπου ὁ τοῦ ψεύδους ἐργάτης, ἔρρηξέ τινα φωνὴν ἐναρμόνιον, καὶ ἐπηκολούθη τῇ φωνῇ αὐτοῦ τῶν ζώων τὰ ἄλογα, καὶ ἐσκίρτων· ἀλλὰ καὶ τὰ φυτὰ ἐκινεῖτο, καὶ οἱ λίθοι ἐδονοῦντο, καὶ ἐδόκει τοῖς ἠπατημένοις πάντα ὀρχεῖσθαι καὶ κυμβαλίζειν. Ἐξίσταντο οὖν πάντες οἱ θεωροῦντες σὺν αὐτῷ τῷ βασιλεῖ, καὶ ἐθαύμαζον. Ὁ δὲ ἅγιος Ἰάσων ἐγγίσας τῷ μάγῳ λέγει· Τί βούλει κάκιστε; τετέλεκάς σου τὰς λαοπλάνους καὶ ψευδεῖς θαυματοποιΐας, ἢ ἔτι καὶ ἄλλας ἐπινοεῖς τούτων ἐπιδείξεσθαι χείρονας; Καὶ ὁ μάγος Εἰ δυνατὸν καὶ ὑμῖν ἐστιν, ἔφη, παράδοξόν τι ποιῆσαι, ἔργῳ τῷ βασιλεῖ, καὶ πάντας πληροφορήσατε, εἰ ὀφὴ πρὸς τὰ τοιαῦτα ἅπασι μείζονα τούτων τὰ ἔργα· τοῦ γὰρ λόγου τὸ πρακτικὸν προτιμότερον. Ὁ ἅγιος Ἰάσων εἶπεν· Οὐκοῦν ἐπειδὴ τοῦ λόγου τὸ πρακτικὸν προτετίμηται, δέξαι ποινὴν πρακτικῶς, ἣν οὐ καλύψει λήθη, οὐκ ἀμαυρώσει χρόνος. Καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτόν, εἶπεν· Ἐκτίλαι σε Κύριος, καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. Καὶ αὐτῇ τῇ ὥρᾳ ἐξέψυξεν· ἵστατο δὲ νεκρὸς ἐπὶ πολὺ καθάπερ λίθινος ἀνδριάς, παρὰ πάντων ὁρώμενος· καὶ συνενεκρώθη αὐτῷ καὶ ἠφανίσθη τὰ τῆς ἀπάτης ἐπιτηδεύματα· ἥ τε φωνὴ τοῦ ὄχλου κατεσιγάσθη, καὶ τὰ ὀρχεῖσθαι νομιζόμενα πάντα, ἐφάνη μὴ σαλευόμενα. Τοῦτο τὸ

παράδοξον ἰδόντες οἱ ὄχλοι θαῦμα, μιᾷ φωνῇ ἔκραζον· Μέγας ὁ Θεὸς Ἰάσονος καὶ Σωσιπάτρου· ἀληθῶς αὐτός ἐστι Θεὸς μόνος, ὁ ποιῶν ἐν ἀληθείᾳ θαυμάσια.

Ὁ δὲ βασιλεὺς μᾶλλον σκληρυνθεὶς καὶ πλησθεὶς ἀνοίας, τοὺς μὲν ἁγίους Ἰάσονα καὶ Σωσίπατρον ἐμφρουρίους εἶναι κελεύει· οὐ γὰρ ἐτόλμησε τιμωρήσασθαι αὐτούς· διαφερόντως τὸν ἅγιον Ἰάσονα δεδιώς, μή τι θαυματουργήσει πάσχων, καὶ μεταστήσει πᾶσαν τὴν πόλιν ἀπὸ τοῦ Ἑλληνισμοῦ εἰς τὸν Χριστιανισμόν. Σατορνῖνον δὲ καὶ τοὺς σὺν αὐτῷ κελεύει ἀχθῆναι εἰς τὴν ἐξέτασιν. Καρπιανὸς ἔπαρχος εἶπεν. Οὐ δίκαιόν ἐστι βασιλεῦ παρὰ τοιούτων οἰκτρῶν ἀνθρώπων, καὶ μάλιστα στασιαστῶν, τὸ σὸν διοχλεῖσθαι κράτος· οὐ γὰρ ἄξιοί εἰσιν οἱ τοιοῦτοι δικαστηρίων βασιλικῶν ἐξετάσεως· ἀλλ' εἰ κελεύει ἡ σὴ θειότης, ἐγὼ τιμωρήσομαι τοὺς ἀλιτηρίους ἐκείνους. Καὶ ἤρεσεν ἡ βουλὴ τῷ βασιλεῖ, καὶ κελεύει γενέσθαι κατὰ τὴν αἴτησιν αὐτοῦ. Σατορνῖνος δὲ παρῄνει τῇ συνούσῃ αὐτῷ συνοδίᾳ λέγων. Σπεύσωμεν ἀδελφοὶ τὸν προκείμενον ἡμῖν ἀγῶνα μετὰ πάσης προθυμίας ἐκτελέσαι. Χριστὸς ἡμᾶς κέκληκεν ὁ βασιλεὺς τῶν αἰώνων εἰς τὸν ἑαυτοῦ νυμφῶνα· λοιπόν, μηδεὶς ἡμῶν διὰ ῥᾳθυμίαν ἐπὶ τῆς κλίνης εὑρεθῇ. Καὶ ἀναστάντες προσηύχοντο, καὶ τοῖς ἁγίοις προσέπιπτον, ἀξιοῦντες εὔχεσθαι ὑπὲρ αὐτῶν· ἔμαθον γὰρ τῇ ἐπιούσῃ παραστῆναι μέλλοντες εἰς τὴν ἐξέτασιν· οἱ δὲ ἅγιοι γόνυ κλίναντες καὶ εὐχὴν ποιήσαντες καὶ τελέσαντες τό, Ἀμήν, ἐκάθισαν· καὶ δι' ὅλης τῆς νυκτὸς ἐλάλουν πρὸς ἑαυτοὺς τὰ μεγαλεῖα τοῦ Θεοῦ. Καὶ ἀρχομένης τῆς ἡμέρας ἀποστέλλει Καρπιανὸς ὁ ἔπαρχος τινὰς ἐν τῇ φυλακῇ τοῦ πραιτωρίου λαβεῖν τοὺς ἄνδρας· οἵτινες ἐλθόντες, καὶ περιθέμενοι τοῖς τραχήλοις αὐτῶν ἁλύσεις, εἵλκον διὰ μέσου τοῦ ἄστεως, οὐχ ὡς λῃστάς, τοῦτο γὰρ παρωράθη, ἀλλ' ὡς Χριστιανούς, καὶ τῶν θεῶν ὑβριστάς, ὅπερ μᾶλλον ἔσχατον ἔγκλημα τοῖς ἔκφροσιν ἐνομίζετο. Μετὰ δὲ πολλὰς τὰς ἐρωτήσεις καὶ τιμωρίας ἐκέλευσεν ὁ ἔπαρχος ἀναληφθῆναι αὐτοὺς ἐν τῷ δεσμωτηρίῳ. Κερκύρα δὲ ἡ θυγάτηρ τοῦ βασιλέως, παρθένος οὖσα ὡς ἐτῶν πεντεκαίδεκα, διὰ τῶν θυρίδων ἄνωθεν τῶν ἀνακτόρων προκύπτουσα, ὡς ἴδε τοὺς ἁγίους δεδεμένους, ἐπυνθάνετο τίνες τέ εἰσιν οὗτοι, καὶ ὅτου χάριν τὰς ἁλύσεις περίκεινται. Καὶ μαθοῦσα παρὰ τῶν παρεπομένων αὐτῇ θεραπαινίδων, ὅτι Χριστιανοί εἰσι, καὶ διὰ τὸν Χριστὸν ταῦτα ὑπομένουσι μεγάλῃ τῇ φωνῇ ἀνεβόησε· Χριστιανή εἰμι κἀγώ, καὶ ἀπὸ τοῦ νῦν τὴν πατρῴαν ἀπαρνοῦμαι θρησκείαν, καὶ νυμφεύομαι τῷ Χριστῷ. Καὶ εὐθέως δραμοῦσα πρὸς τὸν ἑαυτῆς πατέρα, εἶπεν αὐτῷ. Γνωστὸν ἔστω σοι βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύω· οὐδὲ ταῖς Ἑλληνικαῖς ἔτι προσέχω δόξαις· παιδίσκη γάρ εἰμι τοῦ Χριστοῦ, καὶ

αὐτὸν μόνον ἔγνων Θεὸν ἀληθινὸν καὶ σωτῆρα· λοιπὸν ποίει ὃ θέλεις. Θαμβηθεὶς δὲ ὁ βασιλεὺς ἐπὶ τῇ ἀπροσδοκήτῳ ταύτῃ παρρησίᾳ καὶ μεταβολῇ τῆς παιδός, ἔμεινε μὲν ἐπὶ πολὺ κεχηνώς, καὶ μόνον ἐνατενίζων αὐτῇ· μόλις δὲ εἰς ἑαυτὸν ἐλθών, ἐπυνθάνετο τὴν αἰτίαν μαθεῖν. Μὴ καὶ σύ, φυσί, τῶν μάγων ἐκείνων Ἰάσονος καὶ Σωσιπάτρου τῆς διδασκαλίας ἐθήλασας; Κερκύρα εἶπεν· Ὁ Θεὸς Ἰάσονος καὶ Σωσιπάτρου, ὃν κηρύσσουσιν ἐν τῇ πόλει ταύτῃ, αὐτὸς ἥψατό μου τῶν ὀφθαλμῶν τῆς καρδίας, καὶ ἐφώτισέ με, καὶ ὑπέδειξέ μοι τὴν ὁδὸν τῆς ἀληθείας. Ὁ βασιλεὺς εἶπεν· Καὶ αἱρῇ καὶ σὺ, ὦ τέκνον ὑπὲρ ἀνθρώπου ἐσταυρωμένου ἀποθανεῖν, μὴ δυνηθέντος ἑαυτῷ βοηθῆσαι; Ἡ παρθένος εἶπεν. Οἱ διὰ τὸν Χριστὸν ἀποθνήσκοντες βασιλεῦ, μακάριοί εἰσι· ζῶσι γὰρ ἀεί· καὶ σὺν αὐτῷ βασιλεύουσι τὴν ἀΐδιον βασιλείαν· καὶ αὐτός ἐστιν ἡ ζωὴ ἡ αἰώνιος, καὶ τὸ φῶς τὸ ἀληθινόν· διὸ κἀγὼ ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ, καὶ παθεῖν καὶ θανεῖν οὐ παραιτοῦμαι. Ταῦτα ἀκούσας ὁ βασιλεὺς παρὰ τῆς θυγατρός, ἐξέστη τῇ διανοίᾳ, καὶ ἠλλοιώθη τῷ προσώπῳ, καὶ λοιπὸν ἤχθετο καὶ ὠργίζετο· ὠργίζετο μὲν ὡς καταφρονηθείς, ἤχθετο δὲ ὡς ἀπορηθείς. Τὴν οὖν ψυχὴν διασπώμενος, προσκαλεσάμενος Καρπιανὸν τὸν ἔπαρχον, ἐβουλεύετο τὰ περὶ τῆς παιδός. Ὁ δέ, Ὀλίγος, φησίν, ἐνδοθήτω βασιλεῦ τῇ μαινομένῃ καιρός, ἵνα σχολὴν ἑαυτῇ δοῦσα, μετάθηται πρὸς τὸ βέλτιον. Καὶ δίδοται καιρὸς τῇ παιδὶ τοῦ βασιλέως. Ἡ δὲ τῇ δοθείσῃ αὐτῇ σχολῇ εἰς ἀγαθὴν κατεχρήσατο πρᾶξιν, περιελοῦσα γὰρ ὃν περιεβέβλητο κόσμον, λέγω δὴ τοὺς προμετωπιδίους καὶ λίθους καὶ μαργαρίτας. τὰ ἑλλόβια τὰ πολυτελῆ, τὰ περιδέραια, τοὺς δακτυλίους, τὴν χρυσῷ περιηνθισμένην ἐσθῆτα, καὶ τὰ ἄλλα πάντα, καὶ πτωχοῖς διανείμασα λάθρα, εὐσταλῆ πρὸς τὸν δρόμον ἑαυτὴν τῆς ἀθλήσεως ἐγκατέστησεν. Ὅπερ μαθὼν αὐτῆς ὁ θεομάχος πατήρ, καὶ βρύξας ὥσπερ λέων, παρέδωκεν αὐτὴν τῷ ἐπάρχῳ, ἐνορκώσας αὐτὸν κατὰ τῶν θεῶν, δειναῖς αὐτὴν ὑποβαλεῖν, εἰ μὴ πείθοιτο, τιμωρίαις. Ὁ δὲ ἔπαρχος Σατορνῖνον μὲν καὶ τοὺς ἀμφ' αὐτὸν πάλιν ὑποστρέφειν προσέταξεν εἰς τὸ δεσμωτήριον· τὴν δὲ ἁγίαν Κερκύραν παραλαβὼν ἐκ τῶν χειρῶν τοῦ πατρὸς αὐτῆς, ἀπήγαγεν εἴς τι χωρίον ἔξω τῆς πόλεως, ἐν χθαμαλῷ κείμενον χολόφῳ· συνῆλθε δὲ καὶ πλῆθος πολὺ τοῦ λαοῦ, ὡς γεμισθῆναι πᾶν τὸ χωρίον, ἐθρήνουν δὲ πάντες ἐπὶ τῇ παιδί, καὶ γυναῖκες καὶ ἄνδρες· καὶ γὰρ ἦν θρήνων τῷ ὄντι καὶ συμπαθείας τὸ ὁρώμενον ἄξιον· παῖς καλὴ τῷ εἴδει σφόδρα, παρθένος ἁγνή, ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας, βασιλέως θυγάτηρ. Εἱλκετο οὖν βίᾳ ὑπὸ στρατιωτῶν, τῶν μὲν ἑλκόντων ἐπὶ τὰ πρόσω, τῶν δὲ κατόπιν ἐπειγόντων ἀσυμπαθῶς. Καὶ πρῶτον μὲν ὁ ἄρχων θωπευτικοῖς τισι λόγοις τὸ τῆς μάρτυρος ἐπειρᾶτο καταμαλακίζειν ἀήττητον· ὡς δὲ ἤνυεν οὐδέν, ἐξε-

τέλει τὸ προσταχθέν· καὶ τοσοῦτον αὐτὴν ἔκοψε πληγαῖς, ὡς νομίζειν τοὺς ὁρῶντας, ἀπὸ τῆς τοῦ αἵματος ῥύσεως, μὴ εἶναι σῶμα ἀνθρώπινον τὸ τυπτόμενον, ἀλλ' ἢ σφάγιον τῆς δορᾶς ἀφῃρημένον· Ἰδοῦσα δὲ ἑαυτὴν οὕτως ἡ ἁγία τῷ αἵματι πεφυρμένην, ἐβόησε λεπτοτάτῃ φωνῇ· Εὐχαριστῶ σοι Κύριέ μου Ἰησοῦ Χριστέ, ὅτι κατηξίωσάς με σήμερον ὑπὸ τοῦ ἰδίου αἵματος βαπτισθῆναι, λοιπὸν ἐνίσχυόν με τελειῶσαι καὶ τὸν δρόμον μου. Ὁ ἄρχων εἶπεν· Ἐάσασα τὰς μωρὰς ταύτας καὶ ματαίας κενολογίας, προσελθοῦσα θῦσον τοῖς θεοῖς, καὶ ζεύχθητι ἀνδρί, καὶ γενοῦ κληρονόμος τῆς πατρικῆς βασιλείας, καὶ μὴ ἀπατῶ ταῖς διδασκαλίαις τῶν χριστιανῶν, καὶ προξενήσῃς τῷ πατρί σου λύπην, καὶ παντὶ τῷ γένει σου ὄνειδος· μηδ' αὐ θελήσῃς ἐν τοιούτῳ κάλλει τὸν τῶν κακούργων ὑποστῆναι θάνατον. Ἡ ἁγία παρθένος εἶπεν· Ἐγὼ δικαστά, Θεὸν ἐν οὐρανοῖς ἔχουσα νυμφίον ἀθάνατον, βασιλέα αἰώνιον, οὔτε θεοῖς νεκροῖς ἔτι λατρεῦσαι, οὔτε ἀνδρὶ φθαρτῷ συνοικῆσαι ἀνέχομαι· βασιλείας δὲ προσκαίρου δόξαν οὐδόλως ἐπιζητῶ, ὁπλίζου τοίνυν, ἤδη κατασκεύαζε τὸν τροχόν, ἄναπτε τὸ πῦρ, εὐτρέπιζε τὸν σίδηρον, ὄρυσσε τὸν βόθρον· συναντιλαμβανέτω δέ σοι καὶ πατὴρ ὁ ἐμός· ἐγὼ δέ, ὡς ὁρᾷς, καὶ γυνὴ καὶ μόνη καὶ γυμνὴ καὶ ξένη τοῦ κόσμου τυγχάνω, ἓν μόνον ὅπλον ἔχουσα, τὸν Χριστόν μου καὶ Θεόν, ὃ οὔτε πληγαῖς κατακόπτεται, οὔτε σιδήρῳ κατατέμνεται, οὔτε πυρὶ κατακαίεται· οὐκ ἀποστήσομαι οὖν ἐγὼ τούτου ποτέ· κἂν καταφλέγῃς ἔπαρχε, οὐχ οὕτω θερμὸν εὑρήσεις τὸ πῦρ. Ἐπὶ τούτοις διελύθη τὸ δικαστήριον· καὶ τὴν μὲν κόρην εἶχε τὸ δεσμωτήριον· ὁ δὲ ἔπαρχος δρομαῖος τῷ βασιλεῖ πρόσεισι καὶ φησί· Γινωσκέτω βασιλεῦ ἡ θειότης σου, ὅτι χαλεπῇ πλάνῃ περιέπεσεν ἡ θυγάτηρ σου· εὐκοπώτερόν ἐστι σίδηρον εἰς ἀπαλότητα μεταστρέφειν, ἢ τὴν ἐκείνης γνώμην μεταβαλεῖν. Θυμωθεὶς οὖν ὁ βασιλεύς, κελεύει τῷ ἐπάρχῳ τινὰ τῶν Αἰθιόπων φοβερώτατον λίαν τῷ εἴδει καὶ εὐμεγέθη καὶ περιβόητον ἐν ταῖς ἀσωτίαις ἀποστεῖλαι ἐν τῇ φυλακῇ πρὸς τὸ φθεῖραι τὴν ἁγίαν παρθένον. Προνοίᾳ δὲ Θεοῦ τοῦ πόρρωθεν σοφῶς καταβάλλοντος τῶν πραγμάτων τὰς ὑποθέσεις, ἄρκτος ποθὲν ἐλθοῦσα, τίθησιν ἑαυτὴν παρὰ τὴν εἴσοδον τοῦ δεσμωτηρίου, φρουρὸν ἀσφαλῆ τῆς παρθενίας αὐτῆς. Ὡς οὖν ὁ Αἰθίοψ ἀπεστάλη, καὶ ἔτρεχε χαίρων ἐπὶ τὴν φυλακήν, πρὸ τοῦ ἐγγίσαι τῇ θύρᾳ, ἐφήλατο ἐπ' αὐτὸν ἡ ἄρκτος μετὰ βρυχηθμοῦ φοβεροῦ, καὶ ῥίψασα αὐτὸν ἐπὶ τῆς γῆς ὕπτιον, ἤρξατο διασπαράττειν καὶ διαμασᾶσθαι αὐτὸν τοῖς ὀδοῦσιν. Ἡ δὲ τοῦ Θεοῦ παῖς Κερκύρα, δραμοῦσα καθάπερ τι χειροήθες ἀρνίον, εἶπεν αὐτῇ· Ὁρκῶ σε κατὰ τῆς δυνάμεως τοῦ Χριστοῦ, ἄνες αὐτῷ, πρὸς τὸ ἀκοῦσαι τῶν παρ' ἐμοῦ

ρημάτων. Ἡ δὲ ἄρκτος, ὥσπερ αἰδεσθεῖσα, εἶασε τὸν ἄνθρωπον εὐθύς, καὶ πάλιν ἀπελθοῦσα, ἀνέπεσεν ἐπὶ τῆς φλιᾶς. Εἶτα λέγει τῷ Αἰθίοπι ἡ ἁγία. Τίνος χάριν ἦλθες ἐνταῦθα; Ὁ δὲ ἔφη· Καρπιανὸς ὁ ἔπαρχος ἀπέστειλέ με. Καὶ λέγει αὐτῷ ἡ μάρτυς. Ἰδοὺ τὸ ἄλογον θηρίον ἀκοῦσαν τὸ ὄνομα τοῦ Χριστοῦ εὐλαβήθη· καὶ σὺ λογικῆς ὢν φύσεως ἐν τοιαύταις ἀσωτίαις διάγεις ἄθλιε; Ὁ δὲ Αἰθίοψ ἔντρομος γενόμενος, προσέπεσε τοῖς ποσὶ τῆς παρθένου, καὶ εἶπε. Δέομαί σου, κέλευσόν με ἐξελθεῖν ἐντεῦθεν ἀβλαβῆ, καὶ πιστεύω τῷ Θεῷ σου. Ἡ δὲ εἶπε· Μὴ φοβοῦ τὸ θηρίον, ἀλλὰ τὴν ἁμαρτίαν· τὸ γὰρ θηρίον σάρκας ἐσθίει τὰς διαλυομένας θανάτῳ· ἡ δὲ ἁμαρτία ψυχὴν δαπανᾷ τὴν ἀθάνατον, αἰωνίως κολάζουσα. Καὶ ἠξίου ὁ Αἰθίοψ δοθῆναι αὐτῷ σημεῖον τῆς πίστεως, καὶ ἀπολυθῆναι. Ἡ δέ, λαβοῦσα ξύλον, καὶ σταυρὸν παραχρῆμα τυπώσασα, δέδωκεν αὐτῷ, καὶ εἶπεν. Τοῦτό ἐστι τὸ σημεῖον τῆς πίστεως· πίστευε εἰς τὸν Χριστόν, καὶ σωθήσῃ. Χριστόδουλον δὲ τοῦτον μετονομάσασα, προσέταξεν ἀπελθεῖν. Ὁ δὲ πάλιν εἶπε· Δέομαί σου δέσποινα καὶ κυρία, δίδαξόν με τί ἀποκρινοῦμαι περὶ τούτου τοῖς ἐπερωτῶσί με. Ἡ Ἁγία Κερκύρα εἶπε. Μηδὲν ἕτερον ἀποκρίνου, ἀλλ' ἢ τοῦτο μόνον, τὸν Χριστὸν ζητῶ, καὶ αὐτὸν ποθῶ, καὶ αὐτὸν προσκυνῶ. Καὶ λαβὼν τὸ τέλειον τῆς πίστεως ὁ Χριστόδουλος, ἐξῆλθεν ἐκεῖθεν· βαστάζων δὲ τὸν σταυρὸν διήρχετο διὰ μέσου τῆς πόλεως, κηρύσσων παρρησίᾳ τὰ θαυμάσια τοῦ Θεοῦ, καὶ λέγων μεγάλῃ τῇ φωνῇ. Τὸν Χριστὸν ζητῶ, καὶ αὐτὸν ποθῶ, καὶ αὐτὸν προσκυνῶ. Ἐρωτώμενος δὲ παρὰ πολλῶν, τί τοῦτό ἐστιν· οὐδὲν ἕτερον ἔλεγεν, εἰμὴ τὸν λόγον, ὃν μεμάθηκε παρὰ τῆς ἁγίας παρθένου. Τῇ δὲ ἑξῆς ὁ ἔπαρχος, ἀρθέντος αὐτῷ βήματος πρὸ τῆς πύλης τῆς πόλεως, ἐκάθισεν εἰς τὴν ἐξέτασιν, καὶ προσέταξε παρευθὺς παραστῆναι τὸν Αἰθίοπα, καὶ ἦχθη βαστάζων τὸν σταυρόν. Καὶ βλέψας εἰς αὐτὸν ὁ ἄρχων πικρόν τε καὶ φόνιον εἶπε· Σκοτεινόμορφε καὶ δυσειδέστερε παντὸς ζώου, τέρας ἐξαίσιον, καὶ πρόσωπον ἐβδελυγμένον καὶ μιαρώτατον, οὐκ εἶχες ἕτερόν τι δρᾶσαι, ἢ συναπαχθῆναι τῇ πλάνῃ τῆς καταράτου κόρης ἐκείνης. Ὁ δὲ Χριστόδουλος τῇ δεξιᾷ χειρὶ τὸν σταυρὸν ὑψώσας εἶπε· Χριστὸν ζητῶ, Χριστὸν ποθῶ, καὶ αὐτὸν προσκυνῶ. Ὁ ἄρχων εἶπεν· Ἀπλωθήτω ἐπὶ ξύλου, καὶ πρισθήτω κατὰ τὸ μέσον τῆς κεφαλῆς. Καὶ ἅμα τῷ λόγῳ τὸ ἔργον ἐπηκολούθει. Πρισθεὶς δὲ ὁ μακάριος ἕως τῶν ὀφθαλμῶν, ἀνεβόησε φωνῇ μεγάλῃ λέγων· Εὐχαριστῶ σοι Κύριε Ἰησοῦ Χριστέ· ἰδοὺ ἐν τῷ αἵματί μου βαπτίζομαι· δέξαι ἐν εἰρήνῃ τὴν ψυχήν μου. Καὶ εὐθέως ἐτελειώθη· ἐνέγκας δὲ ὁ ἄρχων πέλεκυν, διεῖλεν αὐτὸν μέσον· καὶ ἔρριψεν ἔξω τῆς πόλεως, εἰς βρῶσιν τοῖς κυσί. Ταῦτα πρᾶξας ὁ μιαρὸς ἔπαρχος, ἀνέστη τοῦ βήματος·

καὶ μετὰ τῆς εἰωθυίας τάξεως ὥρμησεν ἐπὶ τὴν φυλακήν, ἔνθα ἦν ἡ ἁγία Κερκύρα ἡ ἀμνὰς τοῦ Χριστοῦ. Καὶ ὡς ἔφθασε τὸ προαύλιον, ἐκωλύετο προβῆναι παρὰ τῆς ἄρκτου· ἐκπηδῶσα γὰρ ἐκ τῶν ἔσω, κατέτρεχεν αὐτὸν μετ' ἐπιεικείας, καὶ κατεδίωκεν αὐτόν τε καὶ τοὺς σὺν αὐτῷ. Ὡς οὖν ἐγνώρισε ταῦτα τῷ βασιλεῖ, καὶ ἔλαβε τὴν ἐξουσίαν τοῦ ἀνελεῖν τὴν παρθένον οἵᾳ βούλεται τιμωρίᾳ. προσέταξε πλῆθος ἐνεχθῆναι ξύλων ὑπὸ τοῦ ἐξερκέτου πολύ, καὶ κατακαῦσαι αὐτὴν σὺν τῷ θηρίῳ καὶ τῇ φρουρᾷ. Τούτου δὲ μετὰ πολλοῦ τοῦ τάχους γενομένου, καὶ τοῦ πυρὸς εἰς ὕψος αἰρομένου καὶ βροντὴν ἀποτελοῦντος, τὸ μὲν θηρίον ὑπὸ τῆς προνοίας τοῦ Θεοῦ ἀπολυθὲν ἀπῆλθεν εἰς τὸν τόπον αὐτοῦ. Ἡ δὲ ἁγία παρθένος ἐν μέσῳ τῆς φοβερᾶς ἐκείνης πυρκαϊᾶς ἐφυλάττετο ἀβλαβὴς ὑπὸ τῆς θείας χάριτος, εὐχομένη τε καὶ εὐλογοῦσα τὸν Κύριον· Ἄγγελος γὰρ ἀποσταλεὶς ὑπὸ τοῦ Θεοῦ, μετεποίει τὸ πῦρ καὶ τὴν φλόγα, καθάπερ ἐν Βαβυλῶνι τοῖς τρισὶ παισίν, εἰς ἀέρα ἔνδροσον αὐτῇ καὶ σωτήριον. Μετὰ δὲ ἡμέρας τρεῖς, ὅτε τῇ ὕλῃ συναπῆλθε τὸ πῦρ, παραγίνεται περίλυπος ὁ βασιλεὺς ἐν τῇ φυλακῇ· καὶ στὰς πόρρωθεν λέγει τοῖς στρατιώταις. Εἰσελθόντες ἐρευνήσατε μή τι λείψανον εὑρεθῇ τῆς ταλαίνης ἐκείνης, καὶ ἀνελόμενοι θάψατε, ὅτι θυγάτηρ βασιλέως ἐστί. Καὶ παρακύψαντες οἱ στρατιῶται, εἶδον τὴν τοῦ Χριστοῦ μάρτυρα καθεζομένην καὶ ἐκτείνουσαν τὰς χεῖρας πρὸς οὐρανόν, καὶ Ἄγγελον φωτοειδῆ ταῖς πτέρυξιν αὐτοῦ περισκέποντα αὐτὴν καὶ ἐφοβήθησαν. Ἀπήγγειλαν δὲ τῷ βασιλεῖ τὸ παράδοξον τοῦ θαύματος. Ὁ δὲ ἐκπλαγείς, ἐπέτρεψε κληθῆναι αὐτήν. Ἡ δὲ ἐξελθοῦσα, ἔστη ἔμπροσθεν τοῦ βασιλέως, πεπαρρησιασμένη ψυχῇ καὶ φαιδρῷ τῷ προσώπῳ. Ὃς ἀτενίσας εἰς αὐτήν, καὶ κατανοήσας ἐπὶ πολὺ τὸ περιανθοῦν αὐτῇ κάλλος, ἤρετο· σὺ εἶ τέκνον μου Κερκύρα; Ἡ μάρτυς ἀπεκρίθη· Τέκνον σὸν ἐγώ, ἐὰν πιστεύῃς εἰς τὸν Χριστόν· Καὶ ὁ βασιλεύς· ἔτι ἐμμένεις τῇ ἀπειθείᾳ, μετὰ τὴν τοσαύτην τῶν θεῶν εὐεργεσίαν; ἐκ γὰρ τοῦ ἀστέκτου πυρός, τῇ δυνάμει τῶν θεῶν ἐρρύσθης. Ἡ δὲ ἁγία μάρτυς ἐμβλέψασα μετ' ὀργῆς τῷ ἀσεβεστάτῳ καὶ παρανόμῳ βασιλεῖ, εἶπε. Τυφλὲ καὶ ἀναίσθητε καὶ πεπωρωμένε καὶ πάσης ἐστερημένε συνέσεως, οὐκ αἰσχύνῃ τὰ θαυμάσια καὶ σημεῖα τοῦ ὑψίστου Θεοῦ τοῖς ἀκαθάρτοις δαίμοσιν ἐπιγράφων; οἱ θεοί σου ἑαυτοῖς βοηθῆσαι οὐ δύνανται, καὶ πῶς ἄλλοις βοηθοῦσι; θρηνείτωσαν, φευγέτωσαν, ἐρρέτωσαν οἱ θεοί σου, κωφὰ καὶ ἄψυχα τυγχάνοντες ξόανα· ἐμὸς δὲ βοηθὸς ὁ Χριστός ἐστι· καὶ αὐτὸς ἀπέστειλε τὸν Ἄγγελον αὐτοῦ, καὶ ἐρρύσατό με ἐκ τοῦ πυρός· καὶ πᾶς ὁ πεποιθὼς ἐπ' αὐτόν, οὐ καταισχυνθήσεται πώποτε. Ὁ βασιλεὺς ἐταράχθη, καὶ ἡ ὄψις τοῦ προσώπου αὐτοῦ

ἠλλοιώθη· καὶ προσκαλεσάμενος τὸν ἔπαρχον, λέγει αὐτῷ Παράλαβε τὴν ἀναίσχυντον ταύτην καὶ βλάσφημον, καὶ ἀπόλεσον τὸ μνημόσυνον αὐτῆς ἐν τάχει·ζήτωσαν οἱ θεοί,ὅτι ἐὰν μὴ τάχιον αὐτὴν ἀπαλλάξῃς τοῦ ζῆν,πολλῶν αὐτὸς ἐν μεθέξει γενήσῃ βασάνων, καὶ τὴν ζωὴν αὐτὴν προσαφαιρεθείς. Παραχρῆμα οὖν συλλαβὼν τὴν ἁγίαν παρθένον ὁ ἔπαρχος, ἐξήγαγεν αὐτὴν ἔξω τῆς πόλεως· καὶ κρεμάσας ἀντιστρόφως, ἔβαλεν ὑποκάτωθεν αὐτῆς θειαφώδεις καπνοὺς καὶ κνισας ἐφ' ἱκανοῦ· εἶθ' οὕτως, ἑκατέρωθεν παραστήσας τοξότας καὶ λιθοβόλους, προσέταξε, τοὺς μὲν τοξεύειν, τοὺς δὲ λιθοβολεῖν· καὶ οὕτως ἡ ἁγία μάρτυς, τῆς καλῆς ὁμολογίας τὴν μαρτυρίαν ἐπλήρωσεν. Ὁ δὲ προμνημονευθεὶς πρεσβύτερος Θεοδόσιος παραμείνας ἐν τῷ τόπῳ, νυκτὸς ἐπιστάσης καὶ πάντων ἀναχωρησάντων, ἦρεν αὐτῆς τὸ καρτερικὸν καὶ πολύαθλον σῶμα, καὶ ἔθηκεν ὑπὸ τὴν γῆν ἐγγὺς τῆς πύλης τῆς πόλεως· ὁμοίως δὲ καὶ Χριστοδούλου τοῦ αἰθίοπος ἀνερευνήσας καὶ εὑρών· ἦν γὰρ ἐρριμμένον κἀκεῖνο, καὶ μέχρι τότε κείμενον ἐπὶ σχήματος, καὶ παρὰ μηδενὸς τῶν θηρίων καὶ τῶν πετεινῶν ὑπομεῖναν λώβην κατέθετο ἐκ δεξιῶν τοῦ τάφου τῆς ἁγίας μάρτυρος, καὶ πολλοὶ τῶν ἐκ τῆς πόλεως νυκτὸς ἐθεώρουν ἐν ἐκείνῳ τῷ τόπῳ στύλον φωτός, καὶ φωνὴν ἤκουον ὑμνῳδίας, καὶ ἐθαύμαζον, καὶ ἐπληροφόρουν, ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοὺς δοξάζοντας αὐτὸν ἀντιδοξάζει. Ταῦτα δὲ πάντα ἀπήγγειλε Θεοδόσιος καὶ οἱ λοιποὶ ἀδελφοὶ Ἰάσονι καὶ Σωσιπάτρῳ καθεζομένοις ἐν τῇ φυλακῇ· οὐδεὶς γὰρ τῶν πιστῶν παρά τινος ἐκωλύετο θεωρεῖν αὐτούς.

Μετὰ δὲ ταῦτα ἄγουσι καὶ τοὺς περὶ Σατορνῖνον ἔξω τῆς πόλεως, καὶ ὀρύξαντες βόθυνον, καὶ στήσαντες λέβητας,ἐμβαλόντες τε πίσσαν καὶ ἔλαιον καὶ κηρὸν ἐν αὐτοῖς προσμίξαντες, καὶ ὑφάψαντες πῦρ, ἐχάλων τοὺς ἁγίους ἐν τῷ βράσματι τῶν λεβήτων· καὶ οὕτω δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐτελειοῦντο. Ἐλθὼν δὲ ἐπὶ τὴν τελείωσιν ὁ μακάριος Σατορνῖνος προσηύξατο οὕτως «Κύριε Ἰησοῦ Χριστὲ ὁ σώσας λῃστὴν ἐπὶ Σταυροῦ Θεόν σε ὁμολογήσαντα; σῶσον καμὲ τὸν ἀνάξιον δοῦλόν σου· καὶ δεξάμενός μου τὴν ὁμολογίαν τῆς πίστεως, μνήσθητί μου ἐν τῇ βασιλείᾳ σου.»Καὶ ἦλθε φωνὴ οὐρανόθεν, πάντων ἀκουόντων.«Θάρσει καὶ ἀγάλλου μάρτυς τῆς ἀληθείας· εἰσηκούσθη γάρ σου ἡ προσευχή, δεῦρο λοιπὸν ἐν τοῖς κόλποις Ἀβραὰμ μετὰ τῶν ἑταίρων σου, καὶ ἀπολάμβανε τὸ στέφος τῆς ἀφθαρσίας». Ταύτης τῆς φωνῆς γενομένης, ἐπίστευσε τὸ πλεῖστον τῆς πόλεως τοῦ λαοῦ μέρος, καὶ πάντες μιᾷ φωνῇ ἔκραζον λέγοντες. Χριστιανοί ἐσμεν καὶ ἡμεῖς, ἀκουσάτω ὁ βασιλεὺς καὶ πάντες οἱ σὺν αὐτῷ. Τοῦτο ἰδὼν ὁ ἅγιος Σατορνῖνος, ἠγαλλιάσατο τῷ πνεύ-

ματι καὶ εἶπεν. «Εὐχαριστῶ σοι Κύριε ὁ Θεός μου· εὐλογῶ καὶ ὑμνῶ καὶ δοξάζω τὸ ὄνομά σου τὸ ἅγιον· ὅτι ἐτάχυνας δεῖξαι μοι τῷ ἀναξίῳ δούλῳ σου τὰ θαυμάσιά σου». Καὶ χαλασθεὶς καὶ αὐτὸς ἐν τῷ λέβητι, ἐτελειώθη μετὰ τῶν λοιπῶν ἁγίων. Γυνὴ δέ τις τῶν εὐγενίδων ὀνόματι Ματρῶνα, σὺν Θεοδοσίῳ τῷ πρεσβυτέρῳ, καὶ πᾶσι τοῖς πιστεύσασι τῷ Χριστῷ, συγκομίσαντες παρρησίᾳ τὰ λείψανα τῶν ἁγίων μαρτύρων μετὰ ψαλμῶν καὶ ὕμνων καὶ τῆς προσφόρου λαμπροφορίας, κατέθεντο ἐν ἱερῷ τινι τῶν ἔξω τῆς πόλεως, ἐν ἑνὶ τύμβῳ, τὰ ἐν αὐτῷ συντρίψαντες εἴδωλα. Ταῦτα ἀκούσαντες οἱ ἅγιοι ἀπόστολοι Ἰάσων καὶ Σωσίπατρος ἐν τῇ φυλακῇ, ἐδόξαζον τὸν Θεὸν καὶ ἔλεγον· «Ὄντως αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου.» Ὁ δὲ βασιλεὺς Κερκυλλῖνος ὁ θεομάχος καὶ παράνομος τύραννος, ὁ δεύτερός τε Φαραὼ καὶ τῆς τοῦ προτέρου ἀπωλείας συμμέτοχος, ἰδὼν ὅτι τὸ πλεῖστον τοῦ λαοῦ ἐπίστευσε τῷ Χριστῷ, μαθὼν δέ, ὅτι καὶ ἐν τῷ ναῷ τῶν θεῶν αὐτοῦ οἱ πιστοὶ κατέθεντο τῶν ἁγίων μαρτύρων τὰ λείψανα, καὶ τὴν συντριβὴν τῶν σεβασμάτων αὐτοῦ, ἐπλήσθη θυμοῦ· καὶ πρῶτον μὲν πυρὶ βουλεύεται κατακαῦσαι τῶν μαρτύρων τὰ λείψανα, καὶ τὴν τέφραν εἰς τὸν ἀέρα λικμῆσαι· ἔπειτα δὲ πάντας τοὺς πιστεύοντας ἄρδην ἀπολέσαι. Ἅπερ οἱ ἅγιοι ἀπόστολοι μαθόντες ἐν τῇ φυλακῇ, ἦραν φωνὴν ὁμοῦ πρὸς τὸν Θεον λέγοντες. «Σὺ Κύριε δέσποτα πάντων, ὁ συντρίβων πολέμους ἐν τῇ ἰσχύϊ σου, ὁ διασκεδάζων βουλὰς ἐθνῶν καὶ ἀθετῶν λογισμοὺς λαῶν καὶ ἀρχόντων παρανομούντων, ἔπαρον τὴν χεῖρά σου ἐπὶ τὴν ὑπερηφανίαν τῶν ἀσεβῶν, καὶ μὴ ἐάσῃς αὐτοὺς κακῶσαι τὸν λαόν σου τοῦτον, ὃν προσεκαλέσω εἰς τὴν ἐπίγνωσίν σου· ἀλλὰ ῥῦσαι αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν, δὶδοὺς αὐτῷ ἐν γῇ τὴν βοήθειάν σου, καὶ ἐν θαλάσσῃ τρίβον ἀσφαλῆ· ἵνα γνῶσι πάντες, ὅτι σὺ εἶ Θεὸς μόνος ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, ποιῶν θαύματα διὰ τοῦ ἁγίου παιδός σου Ἰησοῦ». Καὶ ὡς ἦλθεν ὁ βασιλεὺς Κερκυλλῖνος μετὰ τῆς συγκλήτου πάσης ἐν τῷ ναῷ κατακαῦσαι τῶν ἁγίων μαρτύρων τὰ λείψανα, καὶ ἰδοὺ δράκων φοβερώτατος ὤφθη αὐτοῖς, καὶ πάντες ἔφυγον εἰς τὰ ὀπίσω. Οἱ δὲ πιστεύσαντες ἅπαντες, φοβηθέντες τὴν ἀπειλὴν τοῦ τυράννου, διέβησαν ἐν τῷ παρακειμένῳ τῇ πόλει νησιδίῳ· καὶ πήξαντες ἐκεῖσε θυσιαστήριον, ἀνύμνουν τὸν Θεόν, τὴν παρ' αὐτοῦ σωτηρίαν καὶ λύτρωσιν ἐκδεχόμενοι. Μαθὼν δὲ καὶ τοῦτο ὁ ἀναίσθητος βασιλεύς, οὐδ' ὅλως ἐδυσωπήθη τῶν γεγονότων θαυμάτων τὸ μέγεθος, ἀλλ' ἀντιτάσσεται κατὰ τῆς δικαίας κρίσεως τοῦ Χριστοῦ, καὶ μὴ βλέπων τὴν ἐπηρτημένην αὐτῷ παρὰ τοῦ δικαίου κριτοῦ, ἐπὶ πᾶσι τῇ ἀσεβείᾳ ἣ ἐποίησεν, ἔνδικον μισθαποδοσίαν ὁ ἀνομήσας διακενῆς, ὥρμησε πλοῖ πανστρατὶ κατὰ τῶν πεπιστευκότων.

Καὶ δὴ γενομένου κατὰ τὸ τοῦ πελάγους μέσον, εὐθέως κλόνος νεφῶν καὶ ἀέρος κίνησις ἄτακτος, βροντῶν τε ψόφοι τραχεῖς· στρόβιλοι δέ τινες εἰσβαλόντες σφοδρότατοι, καὶ κύματα βίαια ταῖς ναυσὶ προσαρασσόμενα, ἐξαίσιον αὐτῷ καὶ ἀφόρητον ἐνεποίουν τὸν κίνδυνον· τέλος, κατεποντίσθη μετὰ παντὸς αὐτοῦ τοῦ στρατεύματος εἰς τὸν βυθὸν τῆς θαλάσσης, ὡς ὁ πάλαι τύραννος Φαραώ, καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς. Ὁ δὲ πιστὸς λαὸς θεωροῦντες τὴν ἀπώλειαν τοῦ παρανόμου βασιλέως καί τῶν στρατευμάτων αὐτοῦ, τὴν ἐπινίκιον ᾠδὴν συμφώνως ἀνέπεμψαν τῷ Θεῷ λέγοντες. «Ἄσωμεν »τῷ Κυρίῳ ἐνδόξως γὰρ δεδόξασται·ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς »θάλασσαν.» Καὶ ἔχαιρον ἐπὶ πᾶσι τοῖς γενομένοις αὐτοῖς ἀγαθοῖς ὑπὸ τοῦ Θεοῦ. Ἰάσων δὲ καὶ Σωσίπατρος οἱ ἅγιοι τοῦ Κυρίου ἀπόστολοι, ἐξελθόντες καὶ αὐτοὶ ἐκ τῆς φυλακῆς, ἐδίδασκον τὸν λόγον τοῦ Θεοῦ μετὰ παρρησίας, καὶ ἐπεστήριζον τοὺς πιστεύοντας· τότε δὴ τότε, καὶ τὸν φανέντα δράκοντα, διὰ προσευχῆς αὐτῶν ἐποίησαν ἀφανῆ. Ἀνέστη δὲ ἕτερος βασιλεὺς Δατιανὸς τοὔνομα καὶ ἀναμαθὼν τὰ παρὰ τῶν ἁγίων γενόμενα, καὶ τὴν παρακολουθήσασαν πᾶσαν τῶν μαρτύρων ἐξέτασιν, ἐκέλευσεν αὐτοὺς παραστῆναι αὐτῷ· καὶ φησί. «Εἶπατέ μοι, πόθεν ἡμῖν τοσαύτης θρασύτητος καὶ τόλμης ἐγγινομένης, τοιαῦτα διδάσκετε καὶ τολμᾶτε; ἀκούω γὰρ παρὰ πολλῶν τὰ καθ'ὑμᾶς·καὶ ὡς ἐναντία τῶν ἀρχαίων ἐθῶν,καὶ τῆςτῶν θεῶν προνοίας ἀλλότρια, οὐδαμῶς ἀποδέχομαι· οὐδὲ γὰρ ἀγαθὸν ἐμοὶ φαίνεται, τὴν πατρῴαν παρωθεῖν εὐδαιμονίαν, καὶ ἀντεισφέρειν καινά, προσανέχειν ἐσταυρωμένῳ Θεῷ». Ὁ ἅγιος Ἰάσων εἶπεν·«Εἴ σου καθαρὰς τὰ τῆς ψυχῆς αἰσθήσεις ἐκέκτησο, καὶ πρὸς διάκρισιν ἐπιτηδείας καλοῦ τε καὶ κακοῦ, ἐδείξαμεν ἄν σοι τὸν ἐσταυρωμένον τοῦτον Θεὸν ὄντα ἀληθινὸν καὶ δεσπότην· ἑκουσίως μὲν διὰ τὴν ἡμετέραν σωτηρίαν παθόντα, ἀπαθῆ δὲ μείναντα τῇ θεότητι». Ὁ βασιλεὺς εἶπε.«Προσῆκόν ἐστι τοῖς πᾶσι τῇ οἰκουμένῃ γνωριζομένοις θεοῖς, τούτοις λατρεύειν καὶ ὑμᾶς, καθὰ καὶ οἱ καθ' ἡμᾶς θεολόγοι παρέδωσαν, Ὀρφεύς, Ὅμηρος, Ἡσίοδος, καὶ οἱ λοιποὶ σοφοί· ἀρτιφανῆ δὲ Θεόν, καὶ μάλιστα ὑπὸ δίκην ἀχθέντα καὶ ἀποθανόντα, καὶ ἐν μνημείῳ τεθέντα, μήτε προσκυνεῖν μήτε σέβειν· τὰς ματαίας οὖν καὶ ἀσαφεῖς ταύτας βαττολογίας ἐάσαντες, πείσθητέ μοι, καὶ θύσατε τοῖς θεοῖς· εἰ δὲ ἀγορεύετε τοῦτο, ἀναγκάσαι με ἔχετε βασάνοις ὑμᾶς ἀναλῶσαι πικραῖς.» Οἱ δὲ ἅγιοι εἶπον· «Ὃ βούλει ποιεῖν, ποίει· ἡμεῖς γὰρ εἰδώλοις νεκροῖς οὐ προσκυνοῦμεν, ἀλλὰ Χριστῷ τῷ μονογενεῖ υἱῷ τοῦ Θεοῦ, δι' οὗ τὰ πάντα γέγονε συνεργίᾳ τοῦ ἁγίου Πνεύματος· ᾧ καὶ λατρεύομεν καὶ τὴν ἀληθινὴν θυσίαν προσφέρομεν· Χριστῷ ᾧ κάμψει πᾶν γόνυ ἐπουρανίων καὶ ἐ-

πιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται». Ὁ βασιλεὺς εἶπε· «τὸ πολυλογεῖν ἐν τούτοις, οὐκ εὔχρηστον». Καὶ εὐθέως κελεύει ἐνεχθῆναι βουτίον σιδηροῦν, καὶ ἐμβληθῆναι ἐν αὐτῷ στυππίον καὶ πίσσαν καὶ κηρόν, καὶ κατακλεισθῆναι τὸν ἅγιον Σωσίπατρον ἐν αὐτῷ, καὶ οὕτω πυρὶ φλεχθέντα, τὸ πέρας τοῦ βίου λαβεῖν. Καὶ λέγει πρὸς τὸν ἅγιον Ἰάσονα· «τὰς μενούσας σε τιμωρίας, δεῖ σε πρότερον ἐν τῷ τοῦ κηρύγματος ἰσηγόρῳ τεθεωρηκέναι, εἶθ' οὕτως ταύτας ὑποστῆναι, ἵνα παγιωτέραν ἐπιδείξῃ τὴν καρτερίαν.» Ὁ δὲ ἅγιος Σωσίπατρος κατασφραγίσας ἑαυτόν, καὶ εὐξάμενος, καὶ εἰπὼν τό, Ἀμήν, εἰσῆλθεν ἐν τῷ βουτίῳ· καὶ οὕτω, τῆς φλογὸς ἀναφθείσης, ἐτελειώθη ἐν Κυρίῳ μηνὶ Ἀπριλίῳ κή. Ἡ δὲ φλὸξ διοδεύσασα, ἐνεπύρισε τῶν κύκλῳ παρεστώτων πολλούς· οἱ δὲ λοιποὶ ἔκραζον· Μέγας ὁ Θεὸς τῶν Χριστιανῶν, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ. Καὶ ἐθρήνουν ἅπαντες ἐπὶ τῷ μακαρίῳ Σωσιπάτρῳ, λέγοντες· κακὴ κρίσις τοῦ βασιλέως. Καὶ ἦν πάντων βοὴ μία καὶ θρῆνος εἷς. Τότε ὁ βασιλεύς, ἰδὼν τὴν τοῦ λαοῦ παντὸς ἐπὶ τῷ δικαίῳ συμπάθειαν, καὶ ἐφ' οἷς πεποίηκε μεταγνούς, ἤρξατο καὶ αὐτὸς θρηνεῖν· καὶ λίθον βαρὺν κρεμάσας ἐπὶ τοῦ τραχήλου αὐτοῦ, ἐβόα λέγων· «Ὁ Θεὸς Ἰάσονος καὶ Σωσιπάτρου ἐλέησόν με τὸν ἁμαρτωλόν, καὶ συγχώρησόν μοι τὰς ἁμαρτίας μου· ἅγιε Σωσίπατρε δεήθητι τοῦ Θεοῦ σου ὑπὲρ ἐμοῦ, ἵνα μοι συγχωρήσῃ τὴν ἁμαρτίαν, ἣν ἔπραξα, ἀδίκως σε παραδοὺς τῷ πυρί». Καὶ λέγει πρὸς τὸν ἅγιον Ἰάσονα· «ἀπὸ τοῦ νῦν Χριστιανός εἰμι κἀγώ, καὶ τῆς σῆς διδασκαλίας ὑπήκοος». Ὁ δὲ ἅγιος Ἰάσων, εὐχαριστήσας τῷ Θεῷ ἐπὶ τῇ ταχίστῃ τοῦ βασιλέως ἐπιστροφῇ, εἶπε πρὸς τὸν λαόν. «Δεῦτε ἀδελφοί, κηδεύσωμεν τὸ σῶμα τοῦ τρισμάκαρος καὶ μάρτυρος Σωσιπάτρου, καὶ δοξάσωμεν τὴν δύναμιν τοῦ Χριστοῦ». Καὶ ἐλθόντες ἔνθα ἦν κείμενον τὸ τίμιον λείψανον, εὗρον αὐτὸ σῶον καὶ ὁλόκληρον, ὡς μηδὲ τρίχα κυριευθῆναι ὑπὸ τοῦ πυρός· καὶ τοῦτο οἱ ὄχλοι θεασάμενοι, ἐπὶ πλεῖον ἐστηρίχθησαν εἰς τὴν πίστιν, καὶ ἐστηρίζοντο. Κηδεύσαντες δὲ αὐτὸ μετὰ τῆς πρεπούσης τιμῆς, κατέθεντο ἐν ἐπισήμῳ τόπῳ, εἰς τὸ προσαρκτῶον μέρος τῆς πόλεως, πλησίον τοῦ λιμένος· καὶ παρευθὺς ὁ ἅγιος Ἰάσων ἤγαγε καὶ τοὺς ἐν τῷ μικρῷ νησιδίῳ εἰς τὴν πόλιν, καὶ πάντας τοὺς διασκορπισθέντας ἐπισυνήγαγε. Καὶ ἁγιάσας κολυμβήθραν, ἐβάπτισε τὸν βασιλέα, ἐπονομάσας αὐτὸν Σεβαστιανόν· ἐβάπτισε δὲ καὶ τοὺς πιστεύσαντας ἅπαντας, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· καὶ ἀπὸ τότε γεγόνασι Χριστιανοὶ οἱ τῆς Κερκυραίων νήσου οἰκήτορες, καὶ ἐβαπτίζοντο. Μετὰ δὲ ταῦτα ἤρξαντο οἰκοδομεῖν ναοὺς ἱεροὺς ἔν τε τῇ πόλει καὶ ἐν πάσῃ τῇ νήσῳ, τὰ εἴδωλα καταστρέφοντες, καὶ τὰ ἱερὰ αὐτῶν καταφρονοῦντες, καὶ

βδελυσσόμενοι· καὶ αὐτὸς δὲ ὁ βασιλεὺς ᾠκοδόμησε τὸν ναὸν τοῦ ἁγίου Ἀνδρέου τοῦ Ἀποστόλου, ἐν αὐτῷ τῷ τόπῳ ἔνθα καὶ κατετέθη τοῦ ἁγίου Σωσιπάτρου τὸ λείψανον· ὁμοίως καὶ τὴν μεγάλην ἐκκλησίαν, ἧς ἐξ εὐωνύμων κελλίον μικρὸν δομησάμενος ὁ βασιλεύς, καὶ ἐκεῖσε ἑαυτὸν κατακρύπτων, προσηύχετο· ἐν ᾧ καὶ μετ' ὀλίγον χρόνον μακαρίως καὶ ἐνδόξως τελειωθείς, ὁ ἅγιος Ἰάσων, αὐτὸν ἐνταφιάσας πάνυ πρεπόντως, κατέθετο αὐτὸν ἐν ἐπισήμῳ τόπῳ καθὰ καὶ ἐπρόσταξεν. Ἡ δὲ βασίλισσα, ἡ τοῦ μακαρίου τούτου Σεβαστιανοῦ γυνή, υἱὸν ἔχουσα μονογενῆ ὡς ἐτῶν δώδεκα, ἀρρωστίᾳ περιπεσόντα καὶ ἀποθανόντα, πίστει ἀδιστάκτῳ προσελθοῦσα τῷ ἁγίῳ Ἰάσονι, ἐδέετο αὐτοῦ λέγουσα. «Δοῦλε τοῦ Θεοῦ τοῦ ὑψίστου, οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν Θεόν, ἀνυπερθέτως παρέχει σοι· μὴ οὖν ἀπαξιώσῃς ἐλθεῖν καὶ ἐπισκέψασθαι τὸ τεθνηκός μου παιδίον, καὶ προσεύξασθαι, ὅπως ἀναστῇ· πιστεύω γὰρ ὅτι τῇ προσευχῇ σου ἀναστήσεται.» Ὁ δὲ ἅγιος Ἰάσων εἶπεν αὐτῇ· «ὦ γύναι, ὑπὲρ τὴν ἐμὴν δύναμιν ᾔτησας· πλὴν τὰ παρὰ ἀνθρώποις ἀδύνατα, παρὰ τῷ Θεῷ δυνατά ἐστι». Καὶ ἠκολούθησεν αὐτῇ ὁ ἅγιος· καὶ στὰς παρὰ τῇ κλίνῃ καὶ ποιήσας εὐχήν, ἐκράτησε τῆς χειρὸς τοῦ τεθνηκότος παιδίου, καὶ εἶπεν· ὦ παιδίον, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ Θεοῦ, ἀνάστηθι ἐξ αὐτῆς». Καὶ ἀνεκάθισε παραχρῆμα τὸ παιδίον, καὶ ἤρξατο λαλεῖν· ἐξέστησαν δὲ πάντες ἐπὶ τῷ γεγονότι σημείῳ, καὶ ἐδόξαζον τὸν Θεὸν λέγοντες, ὅτι ὄντως τὰ σημεῖα ταῦτα, Θεοῦ ἀληθινοῦ εἰσιν. Ἄλλη δέ τις γυνὴ τῶν περιφανῶν, ὑπὸ πνευμάτων ἀκαθάρτων ἐνοχλουμένη, ἀκούσασα ὅτι τὸν υἱὸν τοῦ βασιλέως ὁ ἅγιος Ἰάσων ἤγειρε θανόντα, ἦλθε καὶ αὐτὴ καὶ προσέπεσεν αὐτῷ, ἀξιοῦσα καθαρισθῆναι τῶν ἐμφωλευόντων ἐν αὐτῇ πονηρῶν πνευμάτων. Ὁ δὲ ἀπόστολος τοῦ Χριστοῦ, ὡς τὴν κατ' αὐτῶν ἐξουσίαν ἔχων, ποιήσας εὐχὴν ἐπ' αὐτῇ, καὶ σφραγίσας αὐτὴν τῷ σημείῳ τοῦ σταυροῦ, πάραυτα μὲν τὰ δαιμόνια ἐφυγάδευσεν· ἡ δὲ γυνὴ γέγονεν ὑγιής, καὶ ἀπῆλθεν εὐχαριστοῦσα τῷ Θεῷ. Πολλοὺς δὲ καὶ ἄλλους πάσχοντας ὑπὸ δαιμόνων καὶ νοσοῦντας, ἰᾶτο τῇ τοῦ Θεοῦ χάριτι τῇ δοθείσῃ αὐτῷ ὑπὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ οἱ θεραπευόμενοι δὲ πάντες ἐδιδάσκοντο, μὴ τῷ Ἰάσονι εὐχαριστεῖν, ἀλλὰ μόνῳ τῷ Κυρίῳ. Καὶ ἦν χαρὰ πολλὴ ἐν τῇ πόλει καὶ πάσῃ τῇ νήσῳ, τῆς πίστεως προκοπτούσης καθ' ἡμέραν, καὶ τῶν εἰδώλων περιφρονουμένων, καὶ τοῦ Κυρίου δοξαζομένου διὰ τῶν ἐπακολουθούντων σημείων· πλήρης γὰρ ὑπάρχων ὁ ἀνὴρ Πνεύματος ἁγίου καὶ χάριτος, πάντας εἵλκε πρὸς ἑαυτόν· βαπτίζων, διδάσκων, νουθετῶν παραινῶν, παρακαλῶν, ἔστι δ' ὅτε καὶ ἐπιτιμῶν καὶ ἐπιπλήττων. Ἐπιβιοὺς δὲ χρόνους ἱκανούς, ἐν μιᾷ νυκτὶ προσευχό-

μενος. θείας τινὸς ἤκουσε φωνῆς λεγούσης πρὸς αὐτόν· «Χαῖρε καὶ εὐφραίνου δοῦλε ἀγαθὲ καὶ πιστέ· δεῦρο ἀπολάμβανε τὴν οὐράνιον βασιλείαν σὺν Σωσιπάτρῳ τῷ σῷ ἀδελφῷ, εἰς ὅλους αἰῶνας.» Ταύτης τῆς φωνῆς ἀκούσας, καὶ περιχαρ�ὴς γεγονώς, ἔπεσεν ἐπὶ πρόσωπον εὐχαριστῶν τῷ Θεῷ· ἐποίησε δὲ τὴν λάρνακα αὐτοῦ πλησίον τοῦ ἁγίου Σωσιπάτρου, ἐντειλάμενος τοῖς ἀδελφοῖς, αὐτόθι μετὰ κοίμησιν καταθέσθαι αὐτόν. Προσκαλεσάμενος δὲ τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας καὶ πάντα τὸν λαόν, παρήγγειλε πᾶσι προσέχειν ἑαυτοῖς, καὶ ἐμμένειν ἐν τῇ πίστει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἔχειν ἀγάπην ἐν ἀλλήλοις καὶ συμφωνίαν, ποιεῖν τε ἐλεημοσύνας, καὶ ἀντέχεσθαι τῶν ἀσθενῶν, καὶ χαίρειν ἐπὶ τῇ τῶν μελλόντων ἐλπίδι, καὶ ἐνθυμεῖσθαι ἀεὶ τὰς ἐν οὐρανῷ μονάς. Καὶ οὕτως ἀνακλίνας ἑαυτὸν ἐν ᾧ εἰώθει κατακλίνεσθαι τόπῳ, νόσῳ μικρᾷ περιπεσών, εἰς τὸν γλυκὺν καὶ μακαριστὸν ὕπνον ἐκλήθη, μηνὶ Ἀπριλίῳ εἰκάδι ἐννάτῃ, ζήσας ἔτη περὶ τὰ ἑξήκοντα, ὡς λόγος, καὶ πρός. Ἦν δὲ τῷ γένει Θεσσαλονικεύς· ὁ δὲ ἅγιος Σωσίπατρος, ἐκ τῆς Ἀχαΐας ὥρμητο. Τούτων δὲ μέμνηται ὁ ἅγιος ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Ρωμαίους ἐπιστολῇ. Ἀσπάζονται ὑμᾶς, λέγων, Τιμόθεος ὁ συνεργός μου καὶ Λούκιος καὶ Ἰάσων καὶ Σωσίπατρος οἱ συγγενεῖς μου. Οἱ δὲ ἱερεῖς σὺν παντὶ τῷ πλήθει κηδεύσαντες ἐντίμως το τίμιον λείψανον τοῦ ἁγίου Ἰάσονος, καθὰ δέδωκεν αὐτοῖς ἐντολάς, ἔθηκαν πλησίον τοῦ ἁγίου Σωσιπάτρου, κοινοὺς φύλακας καὶ πρὸς Θεὸν μεσίτας ἀμφοτέρους ταῖς μετέπειτα γενεαῖς θησαυρίσαντες, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

*Ὠδὴ ζ'. Ἄλλος. Οἱ ἐκ τῆς Ἰουδαίας.*

*Ρυπαροὺς ἡμᾶς ὄντας, ἐν Κερκύρᾳ τὸ πάλαι πάντας ἀπένιψαν, Σωσίπατρος ὁ Θεῖος, Ἰάσων ὁ κλεινός τε, τῷ βαπτίσματι ψάλλοντας. Ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ. Τῆς ἁγίας.*

*Ἱκετήριον αἶνον, σοὶ Κερκύρα ἄδομεν οἱ Κερκυραῖοι σεπτῶς, ὡς ἐπινυμφευθείσῃ, Χριστῷ τῷ εὐεργέτῃ, καὶ βοώσῃ τῷ κτίστῃ σου. Ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητός εἶ. Δόξα.*

*Σωματούμενον Λόγον, ἴσμεν ἐπ' ἐσχάτων σε τὸν προαιώνιον, ἀχρόνως ἐκ Πατρός τε, σὺν Πνεύματι τῷ Θείῳ. προελθόντα καὶ ψάλλομεν. Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ. Καὶ νῦν. Θεοτοκίον.*

*Ἧρτηται οὗν αἱμάτων, Θεοτόκε Μαρία ὁ φύσει ἄϋλος, καὶ ἄσαρκος οὐσία, ἑνούμενος ἀῤῥήτως, εὐδοκίᾳ θεότητος, ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογημένη. Καταβασία. Ὁ παῖδας ἐκ καμίνου ρυσάμενος.*

*Ὠδὴ ἡ. Ἄλλος. Ἐπταπλασίως κάμινον.*

Δοξολογίαις σήμερον, τὸν ἐν ὕψει καθήμενον, ἐπὶ θρόνου δόξης, λατρικαῖς ὑμνοῦμέν σε, ὡς μέτοχοι χάριτος, τῆς ἐκδοθείσης ἡμῖν σεπτῶς, τοῖς τῶν ἀποστόλων θεοπνεύστοις λογίοις· ὃν παῖδες εὐλογοῦσιν· ἱερεῖς ἀνυμνοῦσι, λαὸς ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

*Τῶν ἁγίων ἑπτὰ λῃστῶν.*

Ἑπταπλασίοις μάρτυσι, Κερκυραίων ὁ τύραννος, ὡς θεοσεβέσιν ἐμμανῶς ἐξέκαυσε, ῥητίνην ἐν λέβητι καὶ θεῖον ἅμα μετὰ κηροῦ, τῷ δημιουργῷ καὶ λυτρωτῇ ἐκβοῶσιν. Οἱ παῖδες εὐλογεῖτε ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας

*Εὐλογοῦμεν Πατέρα. Υἱόν, καὶ ἅγιον Πνεῦμα*

Φῶς τὸν Πατέρα ἄναρχον, φῶς Υἱὸν ὁμοούσιον, φῶς ὁμοῦ τὸ Πνεῦμα τῇ φύσει συνάναρχον· φῶς ἐν τῇ θεότητι, κἂν τρία φῶτα προσωπικῶς, ὡς ἔφη δυὰς τῶν συγγενῶν τῶν τοῦ Παύλου· οἱ παῖδες εὐλογεῖτε ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*Καὶ νῦν, Θεοτοκίον.*

Ἀπάτορά σε τέτοκεν, ἡ Παρθένος τὸν λάμψαντα, πάντων πρὸ αἰώνων ἐκ Πατρὸς ἀμήτορα, βροτόν, ὡς εὐδόκησας φιλανθρωπίᾳ θείᾳ Σωτήρ, ὅθεν σοι πιστῶς σὺν τῇ Κερκύρᾳ βοῶμεν. Οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

*Καταβασία. Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα.*

*Ὠδὴ Θ'. Ἄλλος. Κυρίως Θεοτόκον.*

Ἰσχύϊ εὐσπλαγχνίας, τοῦ ἐν τοῖς ὀψίστοις, ἡ Κερκυραίων πληθὺς διεσώθημεν, τῶν μαθητῶν συνεργίᾳ, Χριστὸν δοξάζοντες. *Τῆς ἁγίας.*

Ἀπαύστως σε Κερκύρα, Κερκυραίων δῆμος, ὁ σὸς προστάτιν ἐν ἅσμασι σέβομεν, ὡς διὰ σοῦ σεσωσμένοι, μάρτυς πολύαθλε. *Δόξα.*

Ξενίζων ὤφθη πάλαι, Ἀβραὰμ ἀγγέλων μορφῇ, Τριάδα τὴν ὄντως ὑπέρθεον, ἣν ἐν Πατρὶ προσκυνοῦμεν, Λόγῳ, καὶ Πνεύματι.

*Καὶ νῦν. Θεοτοκίον.*

Μετὰ τῆς Θεοτόκου, Σωσίπατρε θεῖε, κλεινὲ Ἰάσων, Κερκύρα μου μέμνησθε, ἐπὰν χωρίσῃ τοῦ σκήνους, Χριστὸς τῷ πνεύμά μου.

*Καταβασία. Φωτίζου, φωτίζου. Ἐξαποστειλάριον τῶν ἀποστόλων.*

*Ὁ οὐρανὸν τοῖς ἄστροις. (ὥρα μηνιαῖον).*

*Τῶν Μαρτύρων. Τοῖς μαθηταῖς συνέλθωμεν.*

Τῷ θρόνῳ παμμακάριστε, τοῦ Χριστοῦ παρεστῶσα, ὡς μαρτυρίου στέφανον, εἰλήφυῖα Κερκύρα, Ἰακισχόλῳ σὺν θείῳ, ὁμοῦ τε καὶ Μαρσαλίῳ, Σατορνίνῳ τε καὶ Ἰανουαρίῳ, Φαυστιανῷ, Εὐφρασίῳ, Κερκυραίων φωστῆρσι, κλεινοῖς τε πρωτομάρτυσι, μνείαν σῶν ποιοῦ δούλων.

*Καὶ τῆς ἑορτῆς Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν τὸ ἀνασάσιμον τῆς ἡμέρας, δίς. εἶτα τὰ δ' προσόμοια τῶν ἁγίων.*

*Ἦχος ά. Πανεύφημοι μάρτυρες ὑμᾶς.*

Πάντα κατελίπατε τερπνά, Χριστὸν ἀγαπήσαντες· οὗ τὰς ψυχὰς ἐκολλήθητε, ὀπίσω ἔνδοξοι· ἴχνεσι τοῖς τούτου, πίστει προσηνέχθητε, Ἰάσων καὶ Σωσίπατρε πάνσοφοι· ᾧ καὶ πρεσβεύετε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

*Ἰάσων, Σωσίπατρε ψυχήν, τὴν ἐμὴν φωτίσατε, ἐσκοτισμένην τοῖς πάθεσιν, οἱ τὸν περίγειον, διδαχαῖς ἐνθέοις, κόσμον καταλάμψαντες, καὶ σκότος τῶν εἰδώλων μειώσαντες, καὶ προσενέγκαντες, γένος ἅπαν τὸ ἀνθρώπινον, σεσωσμένον, Χριστῷ τῷ Θεῷ ἡμῶν.*

*Χριστὸς ὁ Θεὸς ὑμᾶς σοφοί, Ἰάσων, Σωσίπατρε, τοὺς πλανωμένους ἀπέστειλεν, ἀνακαλέσασθαι, καὶ πρὸς σωτηρίαν, πάντας καθωδήγησεν, ὑμῶν τοῖς θεοσόφοις διδάγμασιν· ᾧ νῦν πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.*

*Κερκύραν τὴν πάνσεμνον ἡμῶν, βασιλίδα σήμερον, οἱ ἐν Κερκύρᾳ τιμήσωμεν, ὡς ἐκτελέσασαν, τὸν τοῦ μαρτυρίου δρόμον καρτερώτα, καὶ μόνον τὸν Χριστὸν ἀγαπήσασαν· ᾧ καὶ πρεσβεύει νῦν, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος. Δόξα. ἦχος ά.*

*Τὰ ἐν Κερκύρᾳ δεσμά, καὶ τὰς ἀπείρους ὑμῶν τίς διηγήσεται θλίψεις, ἔνδοξοι ἀπόστολοι; ἢ τίς παραστήσει τοὺς ἀγῶνας ὑμῶν οὓς κεκοπιάκατε ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ; οὐ μόνον ὡς Ταρσὸν σὺν Ἰκονίῳ κερδήσητε, ἀλλὰ καὶ ταύτην ἡμῶν Χριστῷ τὴν πόλιν προσάξητε. Αὐτῷ οὖν πρεσβεύσατε φυλάττειν ἐν ἡμῖν, τὴν καλὴν ὑμῶν ὁμολογίαν μέχρι τελευταίας ἀναπνοῆς, Ἰάσων καὶ Σωσίπατρε, διδάσκαλοι τῶν ἐκκλησιῶν ἡμῶν.*

*Καὶ νῦν. Τῆς ἑορτῆς. Δοξολογία μεγάλη, καὶ ἀπόλυσις. Εἰς τὴν λειτουργίαν, τυπικά, καὶ τοῦ πάσχα ἡ γ'. ὠδὴ καὶ τῶν ἁγίων ἡ ς', Προκείμενον τοῦ Ἀποστόλου. ἦχος πλ. δ'. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. Ὁ Ἀπόστολος. Πρὸς Ρωμαίους. Ἀδελφοί, παρακαλῶ ὑμᾶς σκοπεῖν τοὺς τὰς διχοστασίας. Ζήτει τῇ β'. τῆς ς'. ἑβδομάδος. Εὐαγγέλιον κατὰ Λουκᾶν. Τῷ καιρῷ ἐκείνῳ ἀνέδειξεν ὁ Κύριος καὶ ἑτέρους ἑβδομήκοντα μαθητάς. Ζήτει τῇ παρασκευῇ τῆς ἑ. ἑβδομάδος Λουκᾶ. Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.*

## ΜΕΓΑΛΥΝΑΡΙΟΝ.

*Χαίροις Ἀποστόλων ἡ ξυναρίς, χαίρετε Ἰάσων καὶ Σωσίπατρε οἱ σοφοί· χαίροις ἡ Κερκύρα, Χριστοῦ παρθενομάρτυς, ἡ Κερκυραίων χαίροις τριὰς σωτήριος.*

---

*Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι ἑπτὰ μάρτυρες οἱ πρώην λησταί, οἱ διὰ τοῦ ἁγίου ΙΑΣΟΝΟΣ πιστεύσαντες τῷ Χριστῷ, ἐν λέβητι πίσσης κοχλαζούσης βληθέντες τελειοῦνται.*

»Λησταὶ μαθόντες τὴν Ἐδὲμ ληστοῦ λάχος,
»Πίσσῃ λαχεῖ ἔσπευσαν αὐτὴν ἐμφλόγῳ.

*Ἡ ἁγία ΚΕΡΚΥΡΑ ἡ θυγάτηρ Κερκυλλίνου τοῦ βασιλέως βέλεσι κατατρωθεῖσα τελειοῦται.*

»Βελῶν βασιλὶς ταῖς βολαῖς ἐστιγμένη,
»Ἐκ στιγμάτων ἔλαμψεν, ὡς ἐκ μαργάρων.

*Ὁ ἅγιος μάρτυς ΕΥΣΕΒΙΟΣ πυρὶ τελειοῦται.*

»Ἐκ σοῦ τὸ πῦρ ὁποῖον ἐκσμήξει ῥύπον,
»Ὄμβρυζον, Εὐσέβιε, Χριστοῦ χρυσίον;

*Οἱ ἅγιοι μάρτυρες ΖΗΝΩΝ καὶ ΒΙΤΑΛΙΟΣ πυρὶ τελειοῦνται.*

»Μὴ δειλιάσῃς, Βιτάλιε πρὸς φλόγα,
»Ἡγήσομαι γὰρ καὶ προεισέλθῳ Ζήνων.

*Ὁ ἅγιος μάρτυς ΝΕΩΝ πυρὶ τελειοῦται*

»Θεοῖς λατρεύειν μὴ θέλων Ἕλληνίοις,
»Καθεῖλε καυθεὶς πίστιν Ἑλλήνων Νέων.

Ζήνων ὁ τοῦ Χριστοῦ μάρτυς, ἅμα τοῖς ἁγίοις Εὐσεβίῳ, Νέωνι, καὶ Βιταλίῳ, ὑπῆρχον μὲν ἐκ τῆς νήσου Κερκύρας· κατηχηθέντες δὲ ὑπὸ τῶν ἁγίων ἀποστόλων Ἰάσονος καὶ Σωσιπάτρου, ἐπίστευσαν τῷ Χριστῷ. Καὶ διαβληθέντες Κερκυλλίνῳ τῷ τῆς νήσου βασιλεῖ, ἐκρατήθησαν· καὶ δεθέντες ὑπὸ τῶν εἰδωλολατρῶν ἁλύσεσι βαρείαις, παρέστησαν ἐνώπιον αὐτοῦ. Καὶ ἐρωτηθέντες, καὶ ὁμολογήσαντες τὸν Χριστόν, γυμνωθέντες τῶν ἱματίων αὐτῶν, καὶ ἐπὶ τὴν γῆν ἁπλωθέντες, καὶ δεθέντες χεῖρας καὶ πόδας σχοινίοις, ἐτύφθησαν ῥάβδοις, ἐπὶ πολλαῖς τε ὥραις καταναγκασθέντες ἀρνήσασθαι μὲν τὸν Χριστόν, θῦσαι δὲ τοῖς εἰδώλοις, μὴ πεισθέντες δὲ μηδὲ μέχρι λόγου θῦσαι τοῖς δαίμοσιν, ἀπεκλείσθησαν εἰς φυλακὴν ὡσεὶ νεκροί, καὶ μετὰ ταῦτα καμίνου μεγάλης ἀναφθείσης, τῆς φυλακῆς ἐκβληθέντες, καὶ ἐν αὐτῇ ἐμβληθέντες, ἐτελειώθησαν.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς.

*Τῷ αὐτῷ μηνὶ Λ', μνήμη τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου ΙΑΚΩΒΟΥ, ἀδελφοῦ Ἰωάννου τοῦ Θεολόγου.* (1).

»Ὡς ἀμνὸς Ἰάκωβος ἀχθεὶς ἐσφάγη,
»Τῆς εὐσεβείας μηρυκίζων τοὺς λόγους·
»Κτεῖνε μάχαιρα φόνεια Ἰάκωβον τριακοστῇ.

Οὗτος ἦτο υἱὸς μὲν Ζεβεδέου, ἀδελφὸς δὲ Ἰωάννου τοῦ Θεολόγου, ὅστις μετὰ τὴν πρόσκλησιν Ἀνδρέου καὶ Πέτρου, προσεκλήθη

(1) Σημείωσαι, ὅτι εἰς τὸν ἀπόστολον τοῦτον Ἰάκωβον, ἐγκώμιον πλέκει Νικήτας ὁ ῥήτωρ, οὗ ἡ ἀρχὴ «Πρώτην μὲν ἡ ζῶσα τῆς ἀληθινῆς Θεολογίας πηγὴ» (σώζεται ἐν τῇ Λαύρᾳ, ἐν τῷ κοινοβίῳ τοῦ Διονυσίου, καὶ ἐν τῷ τρίτῳ Πανηγυρικῷ τῆς ἱερᾶς μονῆς τοῦ Βατοπεδίου, καὶ ἐν τῇ τῶν Ἰβήρων).

